δοκεῖ γὰρ ἀφαιρεῖν τὴν ἀνάγκην. Ἥδιστον δὲ Ῥωμαίῳ θέαμα στρατιώτῃ, στρατηγὸς ἐσθίων ἐν ὄψει κοινὸν ἄρτον, ἢ κατακείμενος ἐπὶ στιβάδος εὐτελοῦς, ἢ περὶ ταφρείαν τινὰ καὶ χαράκωσιν ἔργου συνεφαπτόμενος. Οὐ γὰρ οὕτω τοὺς τιμῆς καὶ χρημάτων μεταδιδόντας, ὡς τοὺς πόνου καὶ κινδύνου μεταλαμβάνοντας ἡγεμόνας θαυμάζουσιν, ἀλλὰ [1] μᾶλλον ἀγαπῶσι τῶν ῥᾳθυμεῖν ἐπιτρεπόντων τοὺς συμπονεῖν ἐθέλοντας. Ταῦτα πάντα ποιῶν ὁ Μάριος, καὶ διὰ τούτων τοὺς στρατιώτας δημαγωγῶν, ταχὺ μὲν ἐνέπλησε τὴν Λιβύην, ταχὺ δὲ τὴν Ῥώμην ὀνόματος καὶ δόξης, τῶν ἀπὸ στρατοπέδου τοῖς οἴκοι γραφόντων, ὡς οὐκ ἔστι πέρας [2] οὐδ' ἀπαλλαγὴ τοῦ πρὸς τὸν βάρβαρον πολέμου, μὴ Γάϊον Μάριον ἑλομένοις ὕπατον.

VIII. Ἐφ' οἷς ὀῆλος ἦν ὁ Μέτελλος ἀχθόμενος. Μάλιστα δ' αὐτὸν ἠνίασε τὰ περὶ Τουρπίλλιον [3]. Οὗτος γὰρ ὁ ἀνὴρ ἦν μὲν

par là en ôter la nécessité. Il n'est pas, pour le soldat romain, de spectacle plus doux que de voir son général manger publiquement le même pain que lui, coucher sur une simple natte, et travailler avec lui à ouvrir une tranchée ou à fortifier un camp. Il estime bien moins les capitaines qui lui donnent de l'argent ou des charges, que ceux qui s'associent à ses travaux et à ses dangers; il aime qu'ils partagent ses fatigues, et non qu'ils lui permettent l'oisiveté. Marius, en suivant cette conduite, gagna l'affection de tous les soldats, et remplit bientôt l'Afrique entière et l'Italie même du bruit de son nom et de sa gloire; tous ceux qui, de l'armée, écrivaient à Rome, ne cessaient de répéter qu'on ne verrait la fin de la guerre contre le roi barbare, que lorsque Marius, nommé consul, en aurait seul la conduite.

VIII. Une préférence si marquée déplaisait fort à Métellus; mais rien ne lui causa plus de chagrin que l'aventure de Turpilius. C'était

δοκεῖ γὰρ
ἀφαιρεῖν τὴν ἀνάγκην.
Στρατηγὸς δὲ
ἐσθίων ἄρτον κοινὸν
ὄψει,
κατακείμενος
ἐπὶ στιβάδος εὐτελοῦς,
ἢ συνεφαπτόμενος ἔργου
περί τινα ταφρείαν
καὶ χαράκωσιν,
θέαμα ἥδιστον
στρατιώτῃ Ῥωμαίῳ.
Οὐ γὰρ θαυμάζουσι
τοὺς ἡγεμόνας μεταδιδόντας
τιμῆς καὶ χρημάτων,
οὕτως ὡς τοὺς μεταλαμβάνοντας
πόνου καὶ κινδύνου,
ἀλλὰ ἀγαπῶσι
τοὺς ἐθέλοντας συμπονεῖν
μᾶλλον
τῶν ἐπιτρεπόντων ῥᾳθυμεῖν.
Ὁ Μάριος ποιῶν πάντα ταῦτα,
καὶ δημαγωγῶν τοὺς στρατιώτας
διὰ τούτων,
ἐνέπλησε ταχὺ μὲν τὴν Λιβύην,
ταχὺ δὲ τὴν Ῥώμην
ὀνόματος καὶ δόξης,
τῶν ἀπὸ στρατοπέδου
γραφόντων τοῖς οἴκοι,
ὡς πέρας οὐδὲ ἀπαλλαγὴ
τοῦ πολέμου πρὸς τὸν βάρβαρον
οὐκ ἔστι
μὴ ἑλομένοις
Γάϊον Μάριον ὕπατον.

VIII. Ἐπὶ οἷς
ὁ Μέτελλος ἦν δῆλος
ἀχθόμενος.
Τὰ δὲ περὶ Τουρπίλλιον
ἠνίασεν αὐτὸν μάλιστα.
Οὗτος γὰρ ὁ ἀνὴρ

car *cela* paraît
enlever la nécessité.
Or un général
mangeant du pain commun
à *sa* vue,
ou couché
sur une natte vile,
ou s'appliquant-avec *lui* à l'ouvrage
pour un travail-de-fossé
et un travail-de-retranchement,
*est* le spectacle le plus agréable
au soldat Romain
Car ils n'admirent pas [part
les généraux qui *leur* donnent-une-
de l'honneur et des richesses,
autant que ceux qui partagent
le travail et le danger,
mais ils aiment
ceux qui veulent souffrir-avec *eux*
plus que
ceux qui *leur* permettent d'être mous.
Marius faisant toutes ces choses,
et gagnant-la-faveur des soldats
par ces *moyens*,
remplit bientôt l'Afrique,
et bientôt Rome
de *son* nom et de *sa* gloire,
ceux de l'armée
écrivant à ceux de la ville,
que fin ni délivrance
de la guerre contre le barbare
n'est pas *à eux*
n'ayant pas élu
Caius Marius consul.

VIII. *Choses* au sujet desquelles
Métellus était évident
étant irrité.
Mais les *affaires* concernant Turpilius
fâchèrent lui surtout.
Car cet homme

ἐκ πατέρων ξένος τῷ Μετέλλῳ, καὶ τότε τὴν ἐπὶ τῶν τεκτόνων ἔχων ἀρχὴν συνεστράτευε. Φρουρῶν δὲ Βάγαν [1], πόλιν μεγάλην, καὶ τῷ μηδὲν ἀδικεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ πράως καὶ φιλανθρώπως αὐτοῖς προσφέρεσθαι πιστεύων, ἔλαθεν ὑποχείριος τοῖς πολεμίοις γενόμενος. Παρεδέξαντο γὰρ τὸν Ἰουγούρθαν, τὸν δὲ Τουρπίλλιον οὐδὲν ἠδίκησαν, ἀλλὰ σῶον ἐξαιτησάμενοι διῆκαν [2]. Ἔσχεν οὖν αἰτίαν προδοσίας· καὶ παρὼν ὁ Μάριος τῇ κρίσει σύμβουλος, αὐτός τέ οἱ πικρὸς ἦν, καὶ τῶν ἄλλων παρώξυνε τοὺς πλείστους, ὥστε ἄκοντα τὸν Μέτελλον ἐκβιασθῆναι καὶ καταψηφίσασθαι θάνατον τοῦ ἀνθρώπου. Μετ' ὀλίγον δέ, τῆς αἰτίας ψευδοῦς φανείσης, οἱ μὲν ἄλλοι συνήχθοντο τῷ Μετέλλῳ βαρεως φέροντι· Μάριος δὲ χαίρων, καὶ ποιούμενος ἴδιον τὸ ἔργον, οὐκ ἠσχύνετο λέγειν περιϊὼν, ὡς αὐτὸς εἴη προστετριμ-

un ami de Métellus, et les deux familles étaient depuis longtemps liées; Turpilius avait alors à l'armée la charge d'intendant des ouvriers. Préposé par Métellus à la garde d'une ville considérable, nommée Vacca, il crut qu'en ne faisant souffrir aucune injustice aux habitants, en les traitant avec douceur et humanité, il s'assurerait de leur fidélité : leur perfidie le livra, sans qu'il s'en doutât, entre les mains des ennemis. Ils reçurent Jugurtha dans leur ville; mais ils ne firent point de mal à Turpilius, et obtinrent pour lui la vie et la liberté. Cité en justice comme coupable de trahison, il eut pour un de ses juges Marius, qui, très indisposé contre lui, aigrit tellement la plupart des autres, que Métellus se vit forcé malgré lui de le condamner à mort. Peu de temps après, l'accusation ayant été reconnue fausse, et tous les autres juges partageant la douleur de Métellus, Marius, au contraire, témoigna publiquement sa joie; il se vanta que cette condamnation était son ouvrage et il n'eut pas honte de

ἦν μὲν ξένος τῷ Μετέλλῳ
ἐκ πατέρων,
καὶ συνεστράτευεν
ἔχων τότε τὴν ἀρχὴν
ἐπὶ τῶν τεκτόνων.
Φρουρῶν δὲ Βάγαν,
πόλιν μεγάλην,
καὶ πιστεύων
τῷ ἀδικεῖν μηδὲν
τοὺς ἐνοικοῦντας,
ἀλλὰ προσφέρεσθαι αὐτοῖς
πρᾴως καὶ φιλανθρώπως,
ἔλαθε γενόμενος
ὑποχείριος τοῖς πολεμίοις.
Παρεδέξαντο γὰρ τὸν Ἰουγούρθαν,
ἠδίκησαν δὲ οὐδὲν
τὸν Τουρπίλλιον,
ἀλλὰ ἐξαιτησάμενοι
διῆκαν σῶον.
Ἔσχεν οὖν αἰτίαν προδοσίας·
καὶ Μάριος
παρὼν σύμβουλος
τῇ κρίσει,
καὶ ἦν αὐτὸς πικρός οἱ,
καὶ παρώξυνε
τοὺς πλείστους τῶν ἄλλων,
ὥστε τὸν Μέτελλον ἄκοντα
ἐκβιασθῆναι,
καὶ καταψηφίσασθαι
θάνατον τοῦ ἀνθρώπου.
Τῆς δὲ αἰτίας φανείσης ψευδοῦς
μετὰ ὀλίγον,
οἱ μὲν ἄλλοι
συνήχθοντο τῷ Μετέλλῳ
φέροντι βαρέως·
Μάριος δὲ χαίρων,
καὶ ποιούμενος τὸ ἔργον ἴδιον,
οὐκ ἠσχύνετο λέγειν
περιιὼν
ὡς αὐτὸς εἴη

était à la vérité hôte de Métellus
depuis *ses* pères (de père en fils),
et faisait-la-campagne-avec *lui*
ayant alors le commandement
sur les ouvriers.
Mais gardant Vacca,
ville grande,
et ayant-confiance
en le *ne* blesser en rien
les habitants,
mais se conduire envers eux
avec douceur et humanité,
il ne s'aperçut-pas étant devenu
sous-la-main des ennemis.
Car ils reçurent Jugurtha,
et *ne* maltraitèrent en rien
Turpilius,
mais *l'*ayant réclamé *de Jugurtha*
*le* renvoyèrent sauf.
Il eut donc une accusation de trahison
et Marius
qui était présent *comme* assesseur
au procès,
et fut lui-même sévère pour lui,
et excita
la plupart des autres,
de sorte que Métellus malgré-lui
avoir été forcé
et avoir décrété
la mort contre l'homme.
Mais l'accusation ayant paru fausse
après peu de *temps*,
les autres de leur côté
s'affligeaient-avec Métellus
qui *le* supportait avec peine :
mais Marius se réjouissant,
et faisant l'affaire propre *à lui*,
ne rougissait pas de dire
allant-de-côté-et-d'autre
que lui-même était

μένος ἀλάστορα τῷ Μετέλλῳ ξενοκτόνον. Ἐκ τούτου φανερῶς ἀπηχθάνοντο· καὶ λέγεταί ποτε τοῦ Μαρίου παρόντος, οἷον ἐφυβρίζων ὁ Μέτελλος εἰπεῖν· « Σὺ δὴ καταλιπὼν ἡμᾶς, ὦ γενναῖε, πλεῖν ἐπ' οἴκου διανοῇ, καὶ παραγγέλλειν ὑπατείαν; οὐ γὰρ ἀγαπήσεις, ἂν τῷ ἐμῷ παιδὶ τούτῳ συνυπατεύσῃς [1] ;» Ἦν δὲ ὁ παῖς τότε τοῦ Μετέλλου παντάπασι μειράκιον [2]. Οὐ μὴν ἀλλὰ τοῦ Μαρίου σπουδάζοντος ἀφεθῆναι, πολλὰς ἀναβολὰς ποιησάμενος, ἔτι δώδεκα λειπομένων ἡμερῶν ἐπὶ τὴν τῶν ὑπάτων ἀνάδειξιν, ἀφῆκεν αὐτόν. Ὁ δέ, πολλὴν ἀπὸ στρατοπέδου τὴν ἐπὶ θάλασσαν εἰς Ἰτύκην ὁδὸν ἡμέραις δυσὶ καὶ μιᾷ νυκτὶ συνελών, ἔθυε πρὸ τοῦ πλοῦ. Καὶ λέγεται τὸν μάντιν εἰπεῖν, ὡς ἀπίστους τινὰς τὸ μέγεθος καὶ κρείττονας ἐλπίδος ἁπάσης εὐπραξίας προφαίνοι τῷ Μαρίῳ τὸ δαιμόνιον. Ὁ δὲ τούτοις ἐπαρθεὶς ἀνήχθη. Καὶ τὸ πέλαγος τεταρταῖος [3] οὐρίῳ πνεύματι

dire partout qu'il avait attaché à l'âme de Métellus une furie vengeresse, qui le punissait d'avoir fait mourir son hôte. Il éclata dès-lors entre eux une haine implacable ; et Métellus lui dit un jour en le raillant : « Vous voulez donc nous quitter, homme de bien ; vous pensez à vous embarquer pour Rome et à y briguer le consulat ; car vous n'auriez garde d'attendre à être consul avec mon fils ? » Ce fils de Métellus était encore dans sa première jeunesse. Cependant Marius sollicitait vivement son congé, que Métellus différait toujours et qu'il lui accorda enfin, lorsqu'il ne restait plus que douze jours jusqu'à l'élection des consuls. Marius se rendit en deux jours et une nuit à Utique, sur mer, quoiqu'elle fût à une distance considérable du camp, et avant de s'embarquer il fit un sacrifice. Le devin lui assura, dit-on, que le dieu lui promettait des prospérités extraordinaires et bien supérieures à ses espérances. Le cœur enflé de ces promesses, il mit à la voile ; et ayant eu constamment le vent le plus favorable, il fit la traversée en quatre jours. Le peuple le reçut avec

προστετριμμένος τῷ Μετέλλῳ — ayant attaché à Métellus
ἀλάστορα — un *dieu* vengeur
ξενοκτόνον. — qui-punit-le-meurtre-d'un-hôte.
Ἐκ τούτου — Depuis cela
ἀπηχθάνοντο φανερῶς· — il furent-ennemis ouvertement ;
καὶ ὁ Μέτελλος λέγεται — et Métellus est rapporté
εἰπεῖν ποτε οἷον ἐφυβρίζων, — avoir dit un jour comme raillant,
τοῦ Μαρίου παρόντος· — Marius étant présent :
« Σὺ δὴ καταλιπὼν ἡμᾶς, — « Toi donc ayant laissé nous,
ὦ γενναῖε, — ô *homme* noble,
διανοῇ πλεῖν ἐπὶ οἶκου, — tu songes à naviguer vers la maison,
καὶ παραγγέλλειν ὑπατείαν ; — et à briguer le consulat ?
οὐ γὰρ ἀγαπήσεις — car tu ne te contenteraispas
ἂν συνυπατεύσῃς — si tu étais-consul-avec
τῷ ἐμῷ παιδὶ τούτῳ ; » — mon fils celui-ci ? »
Ὁ δὲ παῖς τοῦ Μετέλλου — Or le fils de Métellus
ἦν τότε παντάπασι μειράκιον. — était alors tout à fait jeune homme.
IX. Οὐ μὴν ἀλλὰ — IX. Cependant
τοῦ Μαρίου σπουδάζοντος — Marius voulant-sérieusement
ἀφεθῆναι, — être congédié,
δώδεκα ἡμερῶν λειπομένων ἔτι — douze jours restant encore
ἐπὶ τὴν ἀνάδειξιν τῶν ὑπάτων, — pour l'élection des consuls,
ποιησάμενος πολλὰς ἀναβολάς, — ayant fait de nombreux retards,
ἀφῆκεν αὐτόν. — *Métellus* laissa-aller lui.
Ὁ δὲ συνελὼν — Mais lui ayant parcouru
τὴν πολλὴν ὁδὸν — la longue route
ἀπὸ στρατοπέδου ἐπὶ θάλασσαν — du camp jusqu'à la mer
εἰς Ἰτύκην — à Utique
δυσὶν ἡμέραις καὶ μιᾷ νυκτί, — en deux jours et une nuit,
ἔθυε πρὸ τοῦ πλοῦ. — sacrifia avant la navigation.
Καὶ λέγεται τὸν μάντιν εἰπεῖν — Et il est dit le devin avoir dit
ὡς τὸ δαιμόνιον — que la divinité
προφαίνοι τῷ Μαρίῳ — présageait à Marius
τινὰς εὐπραξίας — certaines prospérités
ἀπίστους τὸ μέγεθος — incroyables par la grandeur
καὶ κρείττονας ἁπάσης ἐλπίδος. — et supérieures à toute espérance.
Ὁ δὲ ἐπαρθεὶς τούτοις — Mais lui enorgueilli par ces choses
ἀνήχθη. — partit.
Καὶ τεταρταῖος — Et en-quatre-jours
περάσας τὸ πέλαγος — ayant traversé la mer

περάσας, αὐτίκα τε τῷ δήμῳ ποθεινὸς ὤφθη, καὶ προαχθεὶς ὑπό τινος τῶν δημάρχων [1] εἰς τὸ πλῆθος, ἐπὶ πολλαῖς κατὰ τοῦ Μετέλλου διαβολαῖς ἠτεῖτο τὴν ἀρχήν, ὑπισχνούμενος ἢ κτενεῖν ἢ ζῶντα λήψεσθαι τὸν Ἰουγούρθαν.

IX. Ἀναγορευθεὶς δὲ λαμπρῶς [2], εὐθὺς ἐστρατολόγει παρὰ τὸν νόμον καὶ τὴν συνήθειαν, πολὺν ὄχλον ἄπορον καὶ δοῦλον [3] καταγράφων· τῶν πρόσθεν ἡγεμόνων οὐ προσδεχομένων τοὺς τοιούτους, ἀλλ', ὥςπερ ἄλλο τι τῶν καλῶν, τὰ ὅπλα μετὰ τιμῆς τοῖς ἀξίοις νεμόντων, ἐνέχυρον τὴν οὐσίαν ἑκάστου τιθέναι δοκοῦντος. Οὐ μὴν ταῦτά γε μάλιστα διέβαλε τὸν Μάριον, ἀλλ' οἱ λόγοι, θρασεῖς ὄντες ὑπεροψίᾳ καὶ ὕβρει, τοὺς πρώτους ἐλύπουν, σκῦλόν τε βοῶντος αὐτοῦ τὴν ὑπατείαν φέρεσθαι τῆς τῶν εὐγενῶν καὶ πλουσίων μαλακίας, καὶ τραύμασιν οἰκείοις πρὸς τὸν δῆμον, οὐ μνήμασι νεκρῶν, οὐδ' ἀλλοτρίαις εἰκόσι νεανιεύεσθαι [4]. Πολλάκις δὲ καὶ τοὺς ἀτυχήσαντας ἐν Λιβύῃ στρα-

ge vives démonstrations de joie. Conduit aux comices par un des tribuns, après avoir présenté plusieurs chefs d'accusation contre Metellus, il demanda le consulat, promettant de tuer Jugurtha, ou de le prendre vivant.

IX. Il fut nommé consul sans opposition ; et aussitôt, au mépris des lois et des coutumes des Romains, dans les nouvelles levées qu'il fit, il enrôla des esclaves et des gens sans aveu : aucun général, avant lui, n'en avait reçu dans ses troupes; on ne confiait les armes, comme les autres honneurs, qu'à des hommes qui en fussent dignes et dont la fortune connue répondit de leur fidélité. Ce ne fut pas néanmoins cette innovation qui décria le plus Marius ; mais il offensa les premiers de Rome par des discours pleins de fierté, de mépris et d'insolence ; il criait partout que son consulat était une dépouille qu'il enlevait à la mollesse des patriciens et des riches ; que pour lui, il se glorifiait auprès du peuple, non de vains monuments et d'images étrangères, mais de ses propres blessures. Souvent même,

πνεύματι οὐριῳ,
par un vent favorable,

ὤφθη τε αὐτίκα
et il fut vu tout-de-suite

ποθεινὸς τῷ δήμῳ,
desiré par le peuple,

καὶ προαχθεὶς
et ayant été conduit

ὑπό τινος τῶν δημάρχων
par un des tribuns-du-peuple

εἰς τὸ πλῆθος,
vers la multitude,

ἠτεῖτο τὴν ἀρχὴν
il demanda la magistrature

ἐπὶ πολλαῖς διαβολαῖς
après plusieurs accusations

κατὰ τοῦ Μετέλλου,
contre Métellus,

ὑπισχνούμενος ἢ κτενεῖν
promettant ou de tuer

ἢ λήψεσθαι τὸν Ἰουγούρθαν ζῶντα.
ou de prendre Jugurtha vivant.

IX. Ἀναγορευθεὶς δὲ λαμπρῶς,
IX. Mais ayant été élu brillamment,

ἐστρατολόγει εὐθύς,
il enrôla-des-soldats aussitôt,

καταγράφων παρὰ τὸν νόμον
inscrivant contre la loi

καὶ τὴν συνήθειαν
et la coutume

πολὺν ὄχλον
une grande foule

ἄπορον καὶ δοῦλον·
indigente et esclave :

τῶν ἡγεμόνων πρόσθεν
les généraux auparavant

οὐ προσδεχομένων τοὺς τοιούτους,
ne recevant pas de tels *hommes*,

ἀλλὰ νεμόντων τὰ ὅπλα
mais distribuant les armes

μετὰ τιμῆς,
avec honneur,

ὥςπερ τι ἄλλο τῶν καλῶν,
comme quelqu'autre des choses belles,

τοῖς ἀξίοις,
à ceux qui étaient dignes,

ἑκάστου δοκοῦντος
chacun paraissant

τιθέναι τὴν οὐσίαν ἐνέχυρον.
mettre sa fortune *comme* gage.

Οὐ μὴν ταῦτά γε
Cependant *ce* ne *furent* pas ces choses

διέβαλλε μάλιστα τὸν Μάριον,
*qui* décrièrent le plus Marius,

ἀλλὰ οἱ λόγοι, ὄντες θρασεῖς
mais ses discours, étant téméraires

ὑπεροψίᾳ καὶ ὕβρει,
par orgueil et insolence,

ἐλύπουν τοὺς πρώτους,
affligeaient les premiers *citoyens*

αὐτοῦ βοῶντος
lui-même criant

τήν τε ὑπατείαν φέρεσθαι
et le consulat être remporté

σκῦλον τῆς μαλακίας
*comme* dépouille de la mollesse

τῶν εὐγενῶν καὶ πλουσίων,
des nobles et des riches,

καὶ νεανιεύεσθαι
et se glorifier

τραύμασιν οἰκείοις
de *ses* blessures propres

πρὸς τὸν δῆμον,
devant le peuple,

οὐ μνήμασι νεκρῶν
non de monuments d'*hommes* morts

οὐδὲ εἰκόσιν ἀλλοτρίαις.
ni d'images étrangères.

Ὀνομάζων δὲ καὶ πολλάκις
Et nommant même souvent

τηγούς, τοῦτο μὲν Βηστίαν, τοῦτο δ' Ἀλβῖνον [1], ἀνθρώπους οἴχων μὲν ἐπιφανῶν, αὐτοὺς δὲ τύχῃ σφαλέντας, ἀπολέμους καὶ δι' ἀπειρίαν πταίσαντας ὀνομάζων, ἐπυνθάνετο τῶν παρόντων, εἰ μὴ καὶ τοὺς ἐκείνων οἴονται προγόνους αὐτῷ μᾶλλον ἂν εὔξασθαι παραπλησίους ἐκγόνους ἀπολιπεῖν, ἅτε δὴ μηδ' αὐτοὺς δι' εὐγένειαν, ἀλλ' ἀπ' ἀρετῆς καὶ καλῶν ἔργων ἐνδόξους γενομένους. Ταῦτα δ' οὐ κενῶς οὐδ' ἀλαζονικῶς ἔλεγεν, οὐδὲ μάτην ἀπεχθάνεσθαι τοῖς δυνατοῖς βουλόμενος· ἀλλ' ὁ δῆμος αὐτόν, ἡδόμενός τε τῇ βουλῇ προπηλακιζομένῃ, καὶ λόγου κόμπῳ μετρῶν ἀεὶ φρονήματος μέγεθος, ἐξεκούφιζε, καὶ συνεξώρμα μὴ φείδεσθαι τῶν ἀξιολόγων, χαριζόμενον τοῖς πολλοῖς.

X. Ὡς δὲ διέπλευσεν εἰς Λιβύην, Μέτελλος μέν, ἥττων τοῦ

en parlant des généraux qui avaient été défaits en Afrique, il traitait Bestia et Albinus, tous deux issus de maisons anciennes, tous deux trahis par la fortune, d'hommes sans capacité et sans expérience : « Croyez-vous, demandait-il à ceux qui étaient présents, que les ancêtres de ces deux généraux n'auraient pas préféré de laisser des descendants qui me ressemblassent? Ne se sont-ils pas eux-mêmes rendus illustres bien moins par leur noblesse et par leur rang, que par leurs vertus et par leurs exploits? » Tous ces discours ne lui étaient pas inspirés par sa présomption et sa vanité, par l'envie de s'attirer gratuitement la haine des patriciens; il était encore excité par le peuple, qui, charmé du mépris que ces propos attiraient au sénat, et mesurant toujours l'élévation de l'âme à la fierté des paroles, portait Marius aux nues et le poussait à ne pas épargner les nobles pour faire plaisir à la multitude.

X. Quand Marius arriva en Afrique Métellus, dominé par l'envie

τοὺς στρατηγοὺς
ἀτυχήσαντας
ἐν τῇ Λιβύῃ,
τοῦτο μὲν Βηστίαν,
τοῦτο δὲ Ἀλβῖνον,
ἀνθρώπους μὲν
οἴκων ἐπιφανῶν,
αὐτοὺς δὲ
σφαλέντας τύχῃ,
ἀπολέμους
καὶ πταίσαντας διὰ ἀπειρίαν,
ἐπυνθάνετο τῶν παρόντων,
εἰ μὴ οἴονται
καὶ τοὺς προγόνους ἐκείνων
εὔξασθαι ἂν μᾶλλον
ἀπολιπεῖν ἐκγόνους
παραπλησίους αὐτῷ,
ἅτε δὴ μηδὲ αὐτοὺς
γενομένους ἐνδόξους
διὰ εὐγένειαν,
ἀλλὰ ἀπὸ ἀρετῆς
καὶ καλῶν ἔργων
Ἔλεγε δὲ ταῦτα
οὐ κενῶς οὐδὲ ἀλαζονικῶς,
οὐδὲ βουλόμενος
ἀπεχθάνεσθαι μάτην
τοῖς δυνατοῖς·
ἀλλὰ ὁ δῆμος, ἡδόμενός τε
τῇ βουλῇ προπηλακιζομένῃ,
καὶ μετρῶν ἀεὶ
μέγεθος φρονήματος
κόμπῳ λόγου,
ἐξεκούφιζεν αὐτόν,
καὶ συνεξώρμα
χαριζόμενον τοῖς πολλοῖς
μὴ φείδεσθαι τῶν ἀξιολόγων.

les généraux
qui avaient-été-malheureux
en Afrique,
tantôt Bestia,
tantôt Albinus,
hommes à la vérité
de familles illustres,
mais eux-mêmes
ayant été renversés par la fortune,
*les nommant hommes* peu-guerriers
et ayant échoué par inexpérience,
il demandait aux présents,
s'ils ne pensent pas
même les ancêtres de ceux-ci
avoir desiré plutôt
de laisser des descendants
semblables à lui *Marius*,
comme certes ni eux-mêmes
étant devenus illustres
par la naissance-noble,
mais par la vertu
et les belles actions.
Mais il disait ces choses
non par vanité ni par jactance,
ni voulant
se-rendre-odieux gratuitement
aux puissants;
mais le peuple, et charmé
du sénat traîné-dans-la-boue,
et mesurant toujours
la grandeur de l'âme
à l'enflure du discours,
élevait-aux-nues lui,
et *l'*excitait
cherchant-la-faveur de la multitude
à ne pas épargner les grands.

X. Ὡς δὲ διέπλευσεν
εἰς Λιβύην,
Μέτελλος μέν,
γενόμενος ἥττων τοῦ φθόνου,

X. Mais dès qu'il eut navigué
en Afrique,
Métellus à la vérité,
étant moindre que l'envie,

φθόνου γενόμενος, καὶ περιπαθῶν, ὅτι, κατειργασμένου τὸν πόλεμον αὐτοῦ, καὶ μηδὲν ὑπόλοιπον, ἢ τὸ σῶμα τοῦ Ἰουγούρθα λαβεῖν, ἔχοντος, ἥκει Μάριος ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον, ἐκ τῆς πρὸς ἐκεῖνον ἀχαριστίας ηὐξημένος, οὐχ ὑπέμεινεν εἰς τὸ αὐτὸ συνελθεῖν, ἀλλ' αὐτὸς μὲν ὑπεξεχώρησε, Ῥουτίλιος δὲ τὸ στράτευμα τῷ Μαρίῳ παρέδωκε[1], πρεσβευτὴς γεγονὼς τοῦ Μετέλλου. Καὶ περιῆλθέ τις νέμεσις ἐν τῷ τέλει τῶν πράξεων Μάριον· ἀφῃρέθη γὰρ ὑπὸ Σύλλα τὴν τοῦ κατορθώματος δόξαν, ὡς ὑπ' ἐκείνου Μέτελλος. Ὃν τρόπον δ', ἀφηγήσομαι βραχέως, ἐπεὶ τὰ καθ' ἕκαστα μᾶλλον ἐν τοῖς περὶ Σύλλα γέγραπται[2]. Βόκχος, ὁ τῶν ἄνω βαρβάρων βασιλεύς[3], ἦν πενθερὸς Ἰουγούρθα, καὶ πολεμοῦντι μὲν οὐ πάνυ τι συλλαμβάνειν ἐδόκει, προβαλλόμενος αὐτοῦ τὴν ἀπιστίαν, καὶ τὴν αὔξησιν δεδοικώς

et outré de dépit de ce qu'après avoir presque terminé la guerre, lorsqu'il n'avait plus qu'à se rendre maître de la personne de Jugurtha, Marius, qui ne devait son élévation qu'à son ingratitude, venait lui enlever la couronne et le triomphe, ne put se résoudre à le voir et se retira de l'armée, dont Rutilius, un de ses lieutenants, remit le commandement à Marius. Mais, avant la fin de la guerre, Marius fut puni de sa perfidie : Sylla vint lui ravir la gloire de la terminer, comme il l'avait enlevée lui-même à Métellus. Puisque j'ai raconté ce fait en détail dans la Vie de Sylla, je n'en dirai ici que peu de mots. Bocchus, roi de la haute Numidie, était beau-père de Jugurtha ; cependant il ne lui donna que de faibles secours dans cette guerre, sous prétexte de sa mauvaise foi, mais, en effet, parce qu'il

καὶ περιπαθῶν, ὅτι,
αὐτοῦ κατειργασμένου
τὸν πόλεμον,
καὶ ἔχοντος μηδὲν ὑπόλοιπον,
ἢ λαβεῖν
τὸ σῶμα τοῦ Ἰουγούρθα,
Μάριος ἥκει
ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον,
ηὐξημένος
ἐκ τῆς ἀχαριστίας πρὸς ἐκεῖνον,
οὐχ ὑπέμεινε
συνελθεῖν εἰς τὸ αὐτό·
ἀλλὰ αὐτὸς μὲν
ὑπεξεχώρησε,
Ῥουτίλιος δέ,
γεγονὼς πρεσβευτὴς
τοῦ Μετέλλου,
παρέδωκε τὸ στράτευμα
τῷ Μαρίῳ.
Καί τις νέμεσις
περιῆλθε Μάριον
ἐν τῷ τέλει τῶν πράξεων·
ἀφῃρέθη γὰρ
τὴν δόξαν τοῦ κατορθώματος
ὑπὸ Σύλλα,
ὡς Μέτελλος ὑπὸ ἐκείνου.
Ἀφηγήσομαι δὲ βραχέως
ὃν τρόπον,
ἐπεὶ τὰ κατὰ ἕκαστα
γέγραπται μᾶλλον
ἐν τοῖς περὶ Σύλλα.
Βόκχος,
ὁ βασιλεὺς τῶν ἄνω βαρβάρων,
ἦν πενθερὸς Ἰουγούρθα,
καὶ ἐδόκει μὲν
οὐ συλλαμβάνειν πάνυ τι
πολεμοῦντι,
προβαλλόμενος
τὴν ἀπιστίαν αὐτοῦ,
καὶ δεδοικὼς τὴν αὔξησιν.

et souffrant-beaucoup, parce que,
lui-même ayant terminé
la guerre,
et *n*'ayant rien de reste,
que de prendre
la personne de Jugurtha,
Marius vient
pour la couronne et le triomphe,
s'étant élevé
par l'ingratitude envers lui,
ne supporta pas
de venir-avec *lui* dans le même *lieu* :
mais lui même d'un côté
se retira,
et de l'autre Rutilius,
qui était lieutenant
de Métellus,
remit l'armée
à Marius.
Et une certaine vengeance *céleste*
environna Marius
dans la fin de ces affaires;
car il fut privé
de la gloire de la réussite
par Sylla,
comme Métellus par lui.
Mais je raconterai brièvement
de quelle manière,
puisque les *faits* un-à-un
ont été écrits plus *au long*
dans les *récits* sur Sylla.
Bocchus,
le roi des barbares d'en haut,
était beau-père de Jugurtha,
et semblait à la vérité
ne pas agir-de-concert tout à fait
*avec lui* combattant,
prétextant
la mauvaise-foi de lui,
et craignant son agrandissement

Ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος, ἐκεῖνον ὑπ' ἀνάγκης ἔθετο τῶν ἐλπίδων τελευταῖον, καὶ κατῆρε πρὸς αὐτόν, αἰσχύνῃ μᾶλλον ὡς ἱκέτην, ἢ δι' εὔνοιαν ὑποδεξάμενος, διὰ χειρὸς εἶχε[1], φανερῶς μὲν ὑπὲρ αὐτοῦ παραιτούμενος Μάριον, καὶ γράφων ὡς οὐκ ἂν ἐκδῴη, καὶ παῤῥησιαζόμενος· κρύφα δὲ βουλεύων προδοσίαν ἐπ' αὐτῷ, καὶ μεταπεμπόμενος Λεύκιον Σύλλαν, ταμίαν μὲν ὄντα Μαρίου, χρήσιμον δὲ τῷ Βόκχῳ γεγενημένον 2 ἐπὶ στρατείας. Ὡς δὲ πιστεύσας ἀνέβη πρὸς αὐτὸν ὁ Σύλλας, ἔσχε μέν τις τροπὴ γνώμης καὶ μετάνοια τὸν βάρβαρον, ἡμέρας τε συχνὰς διηνέχθη τῷ λογισμῷ, βουλευόμενος, ἢ παραδοῦναι τὸν Ἰουγούρθαν, ἢ μηδὲ τὸν Σύλλαν ἀφεῖναι. Τέλος δέ, τὴν προτέραν κυρώσας προδοσίαν, ἐνεχείρισε τῷ Σύλλᾳ ζῶντα τὸν Ἰουγούρθαν. Καὶ τοῦτο πρώτων ὑπῆρξεν αὐτοῖς σπέρμα τῆς ἀνηκέστου καὶ χαλεπῆς ἐκείνης στάσεως, ἢ μικρὸν ἐδέησεν ἀνα-

redoutait son agrandissement. Quand Jugurtha, fugitif et errant, réduit à n'avoir plus d'autre ressource, se fut réfugié près de lui, Bocchus le reçut comme suppliant, plus par honte que par bienveillance. Maître de sa personne, il feignait en public de solliciter sa grâce auprès de Marius; il écrivait même à ce général, avec une franchise apparente, qu'il ne livrerait pas Jugurtha; mais, ayant formé secrètement le dessein de trahir ce prince, il manda auprès de lui Sylla, alors questeur de Marius, et qui, dans cette guerre, avait rendu quelques services à Bocchus. Sylla, se livrant à sa foi, se rendit à sa cour; mais, quand il fut arrivé, le barbare changea de sentiment et parut se repentir; il balança plusieurs jours s'il livrerait son gendre ou s'il retiendrait Sylla. Enfin, se décidant pour la trahison qu'il avait d'abord projetée, il remit Jugurtha vif entre les mains de Sylla. Tel fut le premier germe de cette haine implacable et cruelle qui éclata bientôt entre Marius et Sylla et qui manqua de renverser Rome. Ceux

Ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος,
ἔθετο ὑπὸ ἀνάγκης
ἐκεῖνον τελευταῖον τῶν ἐλπίδων,
καὶ κατῆρε πρὸς αὐτόν,
ὑποδεξάμενος ὡς ἱκέτην
μᾶλλον αἰσχύνῃ
ἢ διὰ εὔνοιαν,
εἶχε διὰ χειρός,
παραιτούμενος μὲν φανερῶς
Μάριον ὑπὲρ αὐτοῦ,
καὶ γράφων ὡς οὐκ ἂν ἐκδώῃ,
καὶ παῤῥησιαζόμενος·
κρύφα δὲ βουλεύων
προδοσίαν ἐπὶ αὐτῷ,
καὶ μεταπεμπόμενος
Λεύκιον Σύλλαν,
ὄντα μὲν ταμίαν Μαρίου,
γεγενημένον δὲ χρήσιμον
τῷ Βόκχῳ
ἐπὶ στρατείας.
Ὡς δὲ ὁ Σύλλας πιστεύσας
ἀνέβη πρὸς αὐτόν,
τὶς μὲν τροπὴ γνώμης
καὶ μετάνοια
ἔσχε τὸν βάρβαρον,
διηνέχθη τε τῷ λογισμῷ
συχνὰς ἡμέρας,
βουλευόμενος
ἢ παραδοῦναι τὸν Ἰουγούρθαν,
ἢ μηδὲ ἀφεῖναι τὸν Σύλλαν.
Τέλος δὲ κυρώσας
τὴν προτέραν προδοσίαν,
ἐνεχείρισε τῷ Σύλλᾳ
τὸν Ἰουγούρθαν ζῶντα.
Καὶ τοῦτο ὑπῆρξεν αὐτοῖς
πρῶτον σπέρμα
ἐκείνης τῆς στάσεως
ἀνηκέστου καὶ χαλεπῆς,
ἣ ἐδέησε μικρὸν
ἀνατρέψαι τὴν Ῥώμην.

Mais après que fuyant et errant,
*Jugurtha* fit par nécessité
lui dernier *objet* de ses espérances,
et s'enfuit vers lui,
*l'*ayant reçu comme suppliant
plutôt par honte
que par bienveillance,
il *l'*eut sous sa main,
suppliant d'un côté ouvertement
Marius pour lui,
et écrivant qu'il ne *le* livrerait pas,
et usant-de-franchise;
et de l'autre secrètement méditant
une trahison contre lui,
et se-faisant envoyer
Lucius Sylla,
qui était questeur de Marius,
et était devenu utile
à Bocchus
pendant la guerre.
Mais lorsque Sylla s'étant confié
fut venu vers lui,
à la vérité un changement de pensée
et un repentir
prit le barbare,
et il fut divisé par la réflexion
pendant plusieurs jours,
méditant
ou de livrer Jugurtha,
ou de ne pas laisser-aller Sylla
Mais enfin ayant confirmé
sa première trahison,
il livra à Sylla
Jugurtha vivant.
Et cela fut pour eux
le premier germe
de cette division
implacable et funeste,
qui faillit de peu
renverser Rome.

τρέψαι τὴν Ῥώμην. Πολλοὶ γὰρ ἐβούλοντο τοῦ Σύλλα τὸ ἔργον εἶναι, τῷ Μαρίῳ φθονοῦντες· αὐτός τε Σύλλας σφραγῖδα ποιησάμενος [1], ἐφόρει γλυφὴν ἔχουσαν ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν ἑαυτῷ. Καὶ ταύτῃ χρώμενος ἀεὶ διετέλει, φιλότιμον ἄνδρα, καὶ πρὸς κοινωνίαν δόξης ἀγνώμονα καὶ δύσεριν, ἐρεθίζων τὸν Μάριον, ἐναγόντων μάλιστα τῶν ἐχθρῶν τῶν ἐκείνου, καὶ τὰ μὲν πρῶτα τοῦ πολέμου καὶ μέγιστα τῷ Μετέλλῳ, τὰ δ' ἔσχατα καὶ τὸ πέρας αὐτοῦ Σύλλᾳ προστιθέντων, ὡς παύσαιτο θαυμάζων καὶ προσέχων ἐκείνῳ μάλιστα πάντων ὁ δῆμος.

XI. Ταχὺ μέντοι τὸν φθόνον τοῦτον, καὶ τὰ μίση, καὶ τας διαβολὰς ἀπεσκέδασε τοῦ Μαρίου καὶ μετέστησεν ὁ κατασχὼν τὴν Ἰταλίαν ἀπὸ τῆς ἑσπέρας [2] κίνδυνος, ἅμα τῷ πρῶτον ἐν χρείᾳ μεγάλου στρατηγοῦ γενέσθαι, καὶ περισκέψασθαι τὴν πό-

qui portaient envie à Marius attribuaient à Sylla la prise du roi de Numidie; et Sylla lui-même avait fait graver un anneau qu'il porta toujours depuis et qui lui servait de cachet, où il était représenté recevant Jugurtha des mains de Bocchus. Rien n'irritait tant Marius, l'homme le plus ambitieux et le moins disposé à partager avec un autre la gloire de ses actions; Sylla d'ailleurs était excité par les ennemis de Marius, qui affectaient de faire honneur à Métellus des premiers et des plus grands succès de cette guerre, et de mettre les derniers sur le compte de Sylla, qui avait eu la gloire de la terminer; ils voulaient empêcher que le peuple n'admirât trop Marius et ne le regardât comme le plus grand de ses capitaines.

XI. Mais cette envie et cette haine, ces invectives contre Marius, furent bientôt assoupies et dissipées par le danger qui, du côté du couchant, vint menacer tout à coup l'Italie. Rome n'eut pas plutôt

Πολλοὶ γὰρ
φθονοῦντες τῷ Μαρίῳ
ἐβούλοντο τὸ ἔργον
εἶναι τοῦ Σύλλα·
Σύλλας τε αὐτὸς
ποιησάμενος σφραγῖδα,
ἐφόρει γλυφὴν
ἔχουσαν
τὸν Ἰουγούρθαν
ἐγχειριζόμενον ἑαυτῷ
ὑπὸ τοῦ Βόχχου.
Καὶ διετέλει
χρώμενος ἀεὶ ταύτῃ,
ἐρεθίζων τὸν Μάριον,
ἀνδρα φιλότιμον,
καὶ ἀγνώμονα
καὶ δύζεριν
πρὸς κοινωνίαν δόξης,
τῶν ἐχθρῶν τῶν ἐκείνου
ἐναγόντων μάλιστα,
καὶ προστιθέντων
τὰ μὲν πρῶτα
καὶ τὰ μέγιστα τοῦ πολέμου
τῷ Μετέλλῳ,
τὰ δὲ ἔσχατα καὶ το περας αὐτοῦ
τῷ Σύλλᾳ,
ὡς ὁ δῆμος παυσαιτο
θαυμάζων,
καὶ προσέχων ἐκεινῳ
μάλιστα παντων.

XI. Ταχυ μέντοι
ὁ κίνδυνος
κατασχων τὴν Ἰταλίαν
ἀπο τῆς ἑσπερας,
ἀπεσκέδασε τοῦ Μαρίου
καὶ μετεστησε
τοῦτον τὸν φθόνον
καὶ τὰ μίση, καὶ τὰς διαβολάς,
ἅμα τῷ
την πολιν γενέσθαι πρῶτον

Car beaucoup
enviant Marius
voulaient l'œuvre
être *celle* de Sylla :
et Sylla lui-même
s'étant-fait-faire un cachet,
portait une ciselure
qui représentait
Jugurtha
livré à lui-même
par Bocchus.
Et il continuait
se servant toujours de ce *cachet*,
irritant Marius,
homme ambitieux,
et intraitable
et querelleur
pour le partage de la gloire,
les ennemis de celui-ci
excitant surtout *Sylla*,
et attribuant
d'un côté les premières choses
et les plus grandes de la guerre
à Métellus,
et les dernières et la fin d'elle
à Sylla,
afin que le peuple cessât
admirant *Marius*,
et s'attachant à lui
plus qu'à tous *les autres*

XI. Cependant bientôt
le danger
qui fondit-sur l'Italie
de l'occident,
dissipa-loiu-de Marius
et détourna *de lui*
cette envie,
et les haines, et les invectives,
en même temps que le
la ville être d'abord

λιν, ᾧ χρωμένη κυβερνήτῃ διαφεύξεται κλύδωνα πολέμου τοσοῦτον· οὐδενὸς ἀνασχομένου τῶν ἀπὸ γένους μεγάλων, ἢ πλουσίων οἴκων, ἐπὶ τὰς ὑπατικὰς κατιόντων ἀρχαιρεσίας, ἀλλ' ἀπόντα τὸν Μάριον ἀναγορευσάντων. Ἄρτι γὰρ ἀπηγγελμένης αὐτοῖς τῆς Ἰουγούρθα συλλήψεως, αἱ περὶ Τευτόνων και Κίμβρων φῆμαι προσέπιπτον, ἀπιστίαν μὲν ἐν ἀρχῇ παρασχοῦσαι πλήθους τε καὶ ῥώμης τῶν ἐπερχομένων στρατῶν, ὕστερον δὲ τῆς ἀληθείας ὑποδεέστεραι φανεῖσαι. Μυριάδες μὲν γὰρ αἱ μάχιμοι τριάκοντα σὺν ὅπλοις ἐχώρουν, ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ πλείους συμπεριάγεσθαι, γῆς χρῄζοντες, ἢ θρέψει τοσοῦτον πλῆθος, καὶ πόλεων, ἐν αἷς ἱδρυθέντες βιώσονται, καθάπερ πρὸ αὐτῶν ἐπυνθάνοντο Κελτοὺς τῆς Ἰταλίας

senti le besoin d'un général habile et cherché des yeux un pilote capable de la sauver dans une guerre qui la menaçait d'une affreuse tempête, que, voyant les citoyens des maisons les plus nobles et les plus riches refuser de se mettre sur les rangs pour demander le consulat, Marius, quoique absent, y fut nommé tout d'une voix. A peine on savait à Rome la prise de Jugurtha, qu'on y porta la nouvelle de l'invasion des Teutons et des Cimbres : tout ce qu'on rapportait du nombre et de la force de leurs armées parut d'abord incroyable ; mais ce qu'on en disait se trouva bientôt au-dessous de la vérité. Ils étaient trois cent mille combattants, tous armés, et ils traînaient à leur suite une multitude beaucoup plus nombreuse de femmes et d'enfants, cherchant des terres capables de nourrir cette multitude immense, et des villes où ils pussent s'établir ; car ils savaient qu'avant eux les Celtes avaient conquis sur les Toscans la contrée la plus fertile

ἐν χρείᾳ μεγάλου στρατηγοῦ,
καὶ περισκέψασθαι
ᾧ χρωμένη κυβερνήτῃ
διαφεύξεται
τοσοῦτον κλύδωνα πολέμου·
οὐδενὸς τῶν οἴκων
μεγάλων ἀπὸ γένους,
ἢ πλουσίων,
κατιόντων
ἐπὶ τὰς ἀρχαιρεσίας ὑπατικάς,
ἀναστρεφομένου,
ἀλλὰ ἀναγορευσάντων
τὸν Μάριον ἀπόντα.
Τῆς γὰρ συλλήψεως Ἰουγούρθα
ἀπηγγελμένης ἄρτι αὐτοῖς,
αἱ φῆμαι
περὶ Τευτόνων καὶ Κίμβρων
προσέπιπτον,
παρασχοῦσαι ἐν ἀρχῇ μὲν
ἀπιστίαν
πλήθους τε καὶ ῥώμης
τῶν στρατῶν ἐπερχομένων,
ὕστερον δὲ φανεῖσαι
ὑποδεέστεραι τῆς ἀληθείας.
Τριάκοντα μὲν γὰρ μυριάδες
αἱ μάχιμοι
ἐχώρουν σὺν ὅπλοις,
ὄχλοι δὲ
παίδων καὶ γυναικῶν
πολὺ πλείους
ἐλέγοντο
συμπεριάγεσθαι,
χρήζοντες γῆς,
ἣ θρέψει πλῆθος τοσοῦτον,
καὶ πόλεων,
ἐν αἷς ἱδρυνθέντες
βιώσονται,
καθάπερ ἐπυνθάνοντο
Κελτούς,
ἀφελομένους Τυῤῥηνῶν,

dans le besoin d'un grand général,
et regarder-de-tous-côtés
du quel se servant comme pilote
elle évitera
un si grand flot de guerre :
aucune des maisons
grandes par la naissance,
ou riches,
qui descendaient
pour les comices consulaires,
*ne* se présentant,
mais *tous* ayant élu
Marius qui était absent.
Car la prise de Jugurtha
ayant été annoncée récemment à eux,
les bruits
sur les Teutons et les Cimbres
survinrent,
présentant d'abord à la vérité
une invraisemblance
de multitude et de force
des armées qui s'avançaient,
mais ensuite ayant paru
moindres que la vérité.
Car d'un côté trente myriades
celles de-combattants
s'avançaient avec leurs armes
et de l'autre des troupes
d'enfants et de femmes
beaucoup plus nombreuses
étaient dites
être-menées-à-leur-suite,
cherchant une terre,
qui pût nourrir une foule si-grande,
et des villes,
dans lesquelles s'étant établis
ils vivront
comme ils savaient
les Celtes,
*l'*ayant enlevée aux Tyrrhènes,

τὴν ἀρίστην κατασχεῖν, Τυρρηνῶν ἀφελομένους [1]. Αὐτοὶ μὲν γὰρ ἀμιξίᾳ τῇ πρὸς ἑτέρους, μήκει τε χώρας, ἣν ἐπῆλθον, ἠγνοοῦντο, τίνες ὄντες ἀνθρώπων, ἢ πόθεν ὁρμηθέντες, ὥσπερ νέφος ἐμπέσοιεν τῇ Γαλατίᾳ καὶ Ἰταλίᾳ. Καὶ μάλιστα μὲν εἰκάζοντο Γερμανικὰ γένη τῶν καθηκόντων ἐπὶ τὸν βόρειον ὠκεανὸν [2] εἶναι, τοῖς μεγέθεσι τῶν σωμάτων, καὶ τῇ χαροπότητι τῶν ὀμμάτων· καὶ ὅτι Κίμβρους ἐπονομάζουσι Γερμανοὶ τοὺς λῃστάς. Εἰσὶ δ' οἳ τὴν Κελτικήν, διὰ βάθος χώρας καὶ μέγεθος, ἀπὸ τῆς ἔξωθεν θαλάσσης, καὶ τῶν ὑπαρκτίων κλιμάτων, πρὸς ἥλιον ἀνίσχοντα καὶ τὴν Μαιῶτιν ἐπιστρέφουσαν, ἅπτεσθαι τῆς Ποντικῆς Σκυθίας λέγουσι [3], κἀκεῖθεν, τὰ γένη μεμῖχθαι. Τούτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς, οὐδὲ συνεχῶς, ἀλλὰ ἔτους ὥρᾳ καθ' ἕκαστον ἐνιαυτὸν εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας, πο-

de l'Italie. Comme ces barbares avaient peu de commerce avec les autres peuples et qu'ils habitaient des pays très éloignés, on ignorait à quelles nations ils appartenaient et de quelles contrées ils étaient partis pour venir, comme une nuée orageuse, foudre sur les Gaules et sur l'Italie. Leur grande taille, leurs yeux bleus et le nom de Cimbres, que les Germains donnent aux brigands, faisaient seulement conjecturer qu'ils étaient de ces peuples de la Germanie qui habitent sur les bords de l'Océan septentrional. D'autres disent que la Celtique, contrée vaste et profonde, s'étend depuis la mer extérieure et les climats septentrionaux, situés à l'est, jusqu'aux Palus-Méotides, et touche à la Scythie Pontique; que ces deux nations voisines s'étant unies ensemble, sortirent de leur pays, non en même temps et par une seule émigration, mais que chaque année, au printemps, elles se mettaient en campagne, marchant toujours devant elles; que bientôt, par des conquêtes successives, elles s'étendirent

κατασχεῖν πρὸ αὐτῶν
τὴν ἀρίστην τῆς Ἰταλίας.
Αὐτοὶ μὲν γὰρ ἠγνοοῦντο,
τῇ ἀμιξίᾳ πρὸς ἑτέρους
μήκει τε χώρας
ἣν ἐπῆλθον,
τίνες ἀνθρώπων ὄντες
ἢ πόθεν ὁρμηθέντες,
ἐμπέσοιεν
ὥςπερ νέφος
τῇ Γαλατίᾳ καὶ Ἰταλίᾳ.
Καὶ εἰκάζοντο μὲν
μάλιστα
εἶναι γένη Γερμανικὰ
τῶν καθηκόντων
ἐπὶ τὸν ὠκεανὸν βόρειον,
τοῖς μεγέθεσι τῶν σωμάτων,
καὶ τῇ χαροπότητι τῶν ὀμμάτων·
καὶ ὅτι
Γερμανοὶ ὀνομάζουσι Κίμβρους
τοὺς λῃστάς.
Εἰσὶ δὲ οἳ λέγουσι καὶ
τὴν Κελτικὴν ἐπιστρέφουσαν,
διὰ βάθος
καὶ μέγεθος χώρας,
ἀπὸ τῆς θαλάσσης ἔξωθεν
καὶ τῶν κλιμάτων ὑπαρκτίων
πρὸς ἥλιον ἀνίσχοντα
καὶ τὴν Μαιῶτιν,
ἅπτεσθαι τῆς Σκυθίας Ποντικῆς,
καὶ ἐκεῖθεν
τὰ γένη μεμῖχθαι.
Τούτους ἐξαναστάντας
οὐκ ἐκ μιᾶς ὁρμῆς,
οὐδὲ συνεχῶς,
ἀλλὰ κατὰ ἕκαστον ἐνιαυτὸν
ὥρᾳ ἔτους,
χωροῦντας ἀεὶ
εἰς τὸ ἔμπροσθεν,
ἐπελθεῖν τὴν ἤπειρον

avoir possédé avant eux
la meilleure *terre* de l'Italie
Or certes eux étaient-inconnus,
par le non-mélange avec d'autres,
et la longueur du pays
qu'ils avaient parcouru,
lesquels des hommes étant,
ou de-quel-lieu s'étant élancés,
ils étaient tombés
comme un nuage
sur la Gaule et l'Italie.
Et à la vérité ils étaient conjecturés
surtout
être des familles Germaniques
de celles qui s'étendent
jusqu'à l'océan septentrional,
par la grandeur de leurs corps,
et la couleur-bleue de leurs yeux
et parce que
les Germains nomment Cimbres
les voleurs.
Mais il y en a qui disent encore
la Celtique tournant,
à cause de la profondeur
et de la grandeur du pays,
depuis la mer extérieure
et les climats septentrionaux
vers le soleil levant
et les Palus-Méotides,
toucher à la Scythie Pontique ;
et de là
les races s'être confondues.
Ceux-ci ayant émigré
non d'un seul élan,
ni d'une manière suivie,
mais par chaque année
dans la saison du printemps,
s'avançant toujours
vers la *contrée* devant *eux*,
avoir parcouru le continent

λέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. Δι' ὃ καὶ πολλας κατὰ μέρος ἐπικλήσεις ἐχόντων, κοινῇ Κελτοσκύθας τὸν στρατὸν ὠνόμαζον. Ἄλλοι δὲ φασί, Κιμμερίων τὸ μὲν πρῶτον ὑφ' Ἑλλήνων τῶν πάλαι γνωσθέντων οὐ μέγα γενέσθαι τοῦ παντὸς μόριον [1], ἀλλὰ φυγὴν ἢ στάσιν τινὰ βιασθεῖσαν ὑπὸ Σκυθῶν, εἰς Ἀσίαν ἀπὸ τῆς Μαιώτιδος διαπεράσαι, Λυγδαμιος ἡγουμενου [2]. Το δὲ πλεῖστον αὐτῶν καὶ μαχιμώτατον, ἐπ' ἐσχάτοις οἰκοῦν παρὰ τὴν ἔξω θάλασσαν, γῆν μὲν νέμεσθαι σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντη, διὰ βάθος καὶ πυκνότητα δρυμῶν, οὓς μέχρι τῶν Ἑρκυνίων [3] εἴσω διήκειν· οὐρανοῦ δὲ εἰληχέναι, καθ' ὃ δοκεῖ μέγα λαμβάνων ὁ πόλος ἔξαρμα, διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων, ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν

dans tout le continent. Quoique chaque peuple eût un nom différent, on donnait à toute leur armée celui de Celto-Scythes. Selon d'autres enfin, une portion peu considérable de ces Cimmériens, qui furent les premiers connus des anciens Grecs, prit la fuite, ou fut chassée de son pays par les Scythes, à la suite de quelque sédition, et passa des Palus-Méotides dans l'Asie, sous la conduite de Lygdamis. Les autres, qui formaient la partie la plus nombreuse et la plus belliqueuse de la nation, habitaient aux extrémités de la terre, près de l'océan hyperboréen, dans un pays couvert partout de bois et d'ombres épaisses, presque inaccessible au soleil, qui ne peut pénétrer dans ces forêts, si vastes et si profondes qu'elles vont se joindre à la forêt Hercynie : ils étaient placés sous cette partie du ciel où l'inclinaison des cercles parallèles donne au pôle une telle élévation, qu'il est presque le zénith

| | |
|---|---|
| πολέμῳ | par la guerre |
| πολλοῖς χρόνοις. | *pendant* beaucoup de temps. |
| Διὰ ὃ καὶ | *C'est* pourquoi aussi |
| ὠνόμαζον κοινῇ | on appelait communément |
| Κελτοσκύθας | Celtoscythes |
| τὸν στρατὸν | l'armée |
| ἐχόντων πολλὰς ἐπικλήσεις | d'*eux* qui avaient plusieurs noms |
| κατὰ μέρος. | par partie. |
| Ἄλλοι δέ φασι | Mais d'autres disent |
| γενέσθαι | *eux* avoir été |
| μόριον οὐ μέγα | une partie non grande |
| τοῦ παντὸς Κιμμερίων | du tout des Cimmériens |
| γνωσθέντων μὲν τὸ πρῶτον | connus à la vérité d'abord |
| ὑπὸ Ἑλλήνων τῶν πάλαι, | par les Grecs d'autrefois, |
| ἀλλὰ φυγὴν | mais une émigration |
| ἢ τινα στάσιν | ou quelque faction |
| βιασθεῖσαν ὑπὸ Σκυθῶν | chassée par les Scythes |
| διαπεράσαι εἰς Ἀσίαν | avoir passé en Asie |
| ἀπὸ τῆς Μαιώτιδος, | des Palus-Méotides, |
| Λυγδάμιος ἡγουμένου. | Lygdamis *la* conduisant. |
| Τὸ δὲ πλεῖστον | Mais la plus grande *partie* |
| καὶ μαχιμώτατον αὐτῶν | et la plus guerrière d'eux |
| οἰκοῦν ἐπὶ ἐσχάτοις | habitant sur les derniers *confins* |
| παρὰ τὴν θάλασσαν ἔξω | le long de la mer extérieure |
| νέμεσθαι μὲν | posséder |
| γῆν σύσκιον καὶ ὑλώδη | une terre ombragée et boisée |
| καὶ δυσήλιον | et impénétrable-au-soleil |
| πάντη | tout à fait |
| διὰ βάθος | à cause de la profondeur |
| καὶ πυκνότητα δρυμῶν, | et de l'épaisseur des bois, |
| οὓς διήκειν | lesquels *on dit* s'étendre |
| εἴσω | à l'intérieur |
| μέχρι τῶν Ἑρκυνίων· | jusqu'aux *forêts* Hercyniennes; |
| εἰληχέναι δὲ οὐρανοῦ, | mais *eux* avoir un ciel |
| κατὰ ὃ ὁ πόλος, | par là où le pôle |
| μεταλαμβάνων μέγα ἔξαρμα, | prenant une grande élévation, |
| διὰ τὴν ἔγκλισιν | à cause de l'inclinaison |
| τῶν παραλλήλων, | des parallèles, |
| δοκεῖ ἀπολείπειν ὀλίγον | semble s'écarter peu |
| τοῦ σημείου | du point |

ἱσταμένου σημείου πρὸς τὴν οἴκησιν· αἵ τε ἡμέραι βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον· δι' ὃ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος Ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν [1]. Ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν Ἰταλίαν, Κιμμερίων μὲν ἐξ ἀρχῆς, τότε δὲ Κίμβρων οὐκ ἀπὸ τρόπου προσαγορευομένων. Ἀλλὰ ταῦτα μὲν εἰκασμῷ μᾶλλον, ἢ κατὰ βέβαιον ἱστορίαν λέγεται. Τὸ δὲ πλῆθος οὐκ ἔλαττον, ἀλλὰ πλέον εἶναι τοῦ λεχθέντος, ὑπὸ πολλῶν ἱστόρηται. Θυμὸν δὲ καὶ τόλμαν ἀνυπόστατοι, καὶ χειρῶν ἔργα παρὰ τὰς μάχας ὀξύτητι καὶ βίᾳ πυρὸς ἐοικότες ἐπῄεσαν, οὐδενὸς ἀντέχοντος αὐτῶν πρὸς τὴν ἔφοδον, ἀλλὰ πάντων μέν, ὅσους ἐπῆλθον, ἐν λόγῳ λείας ἀγομένων καὶ φερομένων·

de ces peuples, et que les jours étant, dans leur plus longue et dans leur plus courte durée, toujours en égalité avec les nuits, y partagent l'année en deux portions égales : ce qui a fourni à Homère l'idée de sa fable des enfers. Voilà d'où partirent pour se rendre en Italie ces barbares appelés d'abord Cimmériens, d'où leur vint ensuite vraisemblablement le nom de Cimbres. Au reste, ces faits sont plutôt fondés sur des conjectures que sur des preuves historiques. Mais la plupart des auteurs conviennent que le nombre de ces barbares, loin d'être au-dessous de ce que nous avons dit, était encore beaucoup plus considérable. Leur courage et leur audace, leur force et leur vivacité dans les combats, étaient comparables à l'impétuosité de la foudre; rien ne pouvait ni leur résister, ni s'opposer à leur marche : tous les peuples, sur leur passage, étaient entraînés comme une proie facile; plu-

| | |
|---|---|
| ἱσταμένου κατὰ κορυφὴν | placé au sommet |
| πρὸς τὴν οἴκησιν· | vers la partie-habitée ; |
| καὶ αἱ ἡμέραι | et les jours |
| ἴσαι βραχύτητι | égaux en brièveté |
| καὶ μήκει | et en longueur |
| πρὸς τὰς νύκτας | aux nuits |
| κατανέμεσθαι τὸν χρόνον | partager le temps ; |
| διὰ ὃ καὶ | *c'est* pourquoi aussi |
| τὴν εὐπορίαν τοῦ μυθεύματος; | la facilité de la fable |
| πρὸς τὴν νεκυίαν | sur l'Enfer |
| γενέσθαι Ὁμήρῳ. | avoir été à Homère. |
| Ἔνθεν οὖν εἶναι | De là donc être-venue |
| τὴν ἔφοδον ἐπὶ τὴν Ἰταλίαν | l'invasion sur l'Italie |
| τούτων τῶν βαρβάρων, | de ces barbares, |
| προσαγορευομένων μὲν | qui étaient appelés à la vérité |
| ἐξ ἀρχῆς Κιμμερίων, | d'abord Cimmériens, |
| τότε δὲ Κίμβρων, | mais alors Cimbres, |
| οὐκ ἀπὸ τρόπου. | non hors de vraisemblance. |
| Ἀλλὰ ταῦτα | Mais ces choses |
| λέγεται μὲν | sont dites à la vérité |
| εἰκασμῷ μᾶλλον | par conjecture plutôt |
| ἢ κατὰ ἱστορίαν βέβαιον. | que d'après une histoire sûre. |
| Τὸ δὲ πλῆθος | Mais leur multitude |
| ἱστόρηται ὑπὸ πολλῶν | est racontée par beaucoup |
| εἶναι οὐκ ἔλαττον, | être non moindre, |
| ἀλλὰ πλέον | mais plus grande |
| τοῦ λεχθέντος. | que celle qui a été dite |
| Ἀνυπόστατοι δὲ | Mais invincibles |
| θυμὸν καὶ τόλμαν, | en courage et en audace, |
| καὶ εἰκότες | et ressemblant |
| ἔργα χειρῶν | par les ouvrages de leurs bras |
| παρὰ τὰς μάχας | dans les combats |
| ὀξύτητι καὶ βίᾳ πυρός, | à la rapidité et à la force du feu, |
| ἐπήεσαν, | ils s'avançaient, |
| οὐδενὸς ἀντέχοντος αὐτῶν | personne *ne* s'opposant à eux |
| πρὸς τὴν ἔφοδον, | contre l'invasion, |
| ἀλλὰ πάντων μὲν | mais tous *ceux* à la vérité |
| ὅσους ἐπῆλθον, | qu'ils rencontraient, |
| ἀγομένων καὶ φερομένων | étant chassés et emportés |
| ἐν λόγῳ λείας· | en façon de butin : |

πολλῶν δὲ καὶ μεγάλων Ῥωμαϊκῶν στρατοπέδων καὶ στρατη
γῶν, ὅσοι προεστήκεσαν τῆς ἐκτὸς Ἄλπεων Γαλατίας, ἀνηρ-
πασμένων [1] ἀκλεῶς· οἳ καὶ μάλιστα τὴν φορὰν αὐτῶν, κακῶ
ἀγωνισάμενοι, κατὰ τῆς Ῥώμης ἐπεσπάσαντο. Νικήσαντες γὰ
οἷς ἐνέτυχον, καὶ χρημάτων πολλῶν κρατήσαντες, ἔγνωσα
μηδαμοῦ γῆς ἑαυτοὺς ἱδρύειν, πρὶν ἐνατρέψωσι τὴν Ῥώμην
καὶ διαπορθήσωσι τὴν Ἰταλίαν.

XII. Ταῦτα Ῥωμαῖοι πυνθανόμενοι πολλαχόθεν, ἐκάλουν Μά-
ριον ἐπὶ τὴν στρατηγίαν. Καὶ τὸ δεύτερον ὕπατος ἀπεδείχθη [2]
τοῦ μὲν νόμου κωλύοντος ἀπόντα, καὶ μὴ διαλιπόντα χρόνο
ὡρισμένον, αὖθις αἱρεῖσθαι [3], τοῦ δὲ δήμου τοὺς ἀντιλέγοντα
ἐκβαλόντος. Ἡγοῦντο γὰρ οὔτε νῦν πρῶτον εἶξειν τῷ συμφέ-
ροντι τὸν νόμον, οὔτ' ἀλογωτέραν εἶναι τὴν παροῦσαν αἰτίαν

sieurs généraux romains, envoyés avec des armées puissantes pour
commander dans la Gaule Cisalpine, avaient été honteusement enle-
vés, et ce fut la lâcheté de ces chefs contre les premières attaques qui
enhardit les Cimbres à marcher vers Rome. Encouragés par la facilité
de leurs victoires et par les richesses immenses qu'ils avaient amas-
sées, ils résolurent de ne s'établir nulle part, qu'ils n'eussent détruit
Rome et ravagé toute l'Italie.

XII. Les Romains, à qui cette nouvelle arrivait de toutes parts,
appelèrent Marius à la conduite de cette guerre. Ils le nommèrent
consul pour la seconde fois, quoiqu'il fût défendu d'élire un citoyen
absent, et qui n'aurait pas mis, entre les deux consulats, l'intervalle
prescrit par la loi; ceux qui voulurent s'y opposer furent repoussés
par le peuple. « Ce n'était pas, disaient les citoyens, la première fois que
la loi cédait à l'utilité publique; et le motif actuel n'était pas moins

πολλῶν δὲ καὶ μεγάλων
στρατοπέδων
καὶ στρατηγῶν Ῥωμαϊκῶν
ὅσοι προεστήκεσαν
τῆς Γαλατίας ἐκτὸς Ἄλπεων
ἀνηρπασμένων ἀκλεῶς·
οἳ ἀγωνισάμενοι
κακῶς
ἐπεσπάσαντο καὶ μάλιστα
τὴν φορὰν αὐτῶν
κατὰ τῆς Ῥώμης.
Νικήσαντες γὰρ
οἷς ἐνέτυχον,
καὶ κρατήσαντες
πολλῶν χρημάτων,
ἔγνωσαν ἱδρύειν αὐτοὺς
μηδαμοῦ γῆς,
πρὶν ἀνατρέψωσι τὴν Ῥώμην,
καὶ διαπορθήσωσι
τὴν Ἰταλίαν.

et même de nombreuses et grandes
armées
et généraux Romains
qui s'étaient-tenus-en-avant
de la Gaule au-delà des Alpes
ayant été enlevés honteusement :
lesquels ayant combattu
malheureusement
attirèrent même surtout
l'impétuosité d'eux
contre Rome.
Car ayant vaincu
*ceux* qu'ils rencontrèrent,
et s'étant emparés
de beaucoup de richesses,
ils résolurent de *n'*établir eux-mêmes
nulle part de la terre,
avant qu'ils *n'*eussent détruit Rome,
et ravagé entièrement
l'Italie.

XII. Ῥωμαῖοι
πυνθανόμενοι ταῦτα
πολλαχόθεν,
ἐκάλουν Μάριον
ἐπὶ τὴν στρατηγίαν.
Καὶ ἀπεδείχθη ὕπατος
τὸ δεύτερον,
τοῦ νόμου μὲν
κωλύοντος ἀπόντα
καὶ μὴ διαλιπόντα
χρόνον ὡρισμένον
αἱρεῖσθαι αὖθις,
τοῦ δὲ δήμου
ἐκβαλόντος τοὺς ἀντιλέγοντας.
Ἡγοῦντο γὰρ
οὔτε τὸν νόμον εἴξειν
νῦν πρῶτον
τῷ συμφέροντι,
οὔτε τὴν αἰτίαν παροῦσαν
εἶναι ἀλογωτέραν

XII. Les Romains
apprenant ces choses
de-plusieurs-côtés,
appelèrent Marius
au commandement
Et il fut élu consu.
*pour* la seconde *fois*.
la loi à la vérité
défendant un absent
et n'ayant pas passé
le temps déterminé
être élu de nouveau,
mais le peuple
ayant chassé les opposants
Car ils pensaient
ni la loi devoir-céder
alors *pour* la première *fois*
à l'utilité,
ni la cause présente
être plus déraisonnable

ἐκείνης, δι' ἣν τὸν Σκιπίωνα παρὰ τοὺς νόμους [1] ὕπατον ἀπέ-
δειξαν, οὐ φοβούμενοι τὴν ἑαυτῶν ἀποβαλεῖν, ἀλλὰ τὴν Καρ-
χηδονίων ἐπιθυμοῦντες ἀνελεῖν. Ταῦτ' ἔδοξε· καὶ Μάριος, ἐκ
Λιβύης μετὰ τοῦ στρατεύματος διακομισθείς, αὐταῖς καλάνδαις
Ἰανουαρίαις, ἣν ἔτους ἀρχὴν ἄγουσι Ῥωμαῖοι, τήν τε ὑπα-
τείαν ἀνέλαβε, καὶ τὸν θρίαμβον εἰσήλασεν [2], ἄπιστον ἐπιδειξά-
μενος θέαμα Ῥωμαίοις Ἰουγούρθαν αἰχμάλωτον· οὗ ζῶντος οὐδ'
ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν. Οὕτω τις ἦν ποικίλος ἀνὴρ
τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυ-
μοειδές. Ἀλλ' ἐξέστη γε πομπευθείς, ὡς λέγουσι, τότε τοῦ
φρονεῖν· καὶ μετὰ τὸν θρίαμβον εἰς τὸ δεσμωτήριον ἐμπεσών,
ὡς οἱ μὲν αὐτοῦ βίᾳ περιέῤῥηξαν τὸν χιτωνίσκον, οἱ δὲ σπεύ-
δοντες ἀφελέσθαι βίᾳ τὸ χρυσοῦν ἐλλόβιον, ἅμα τὸν λοβὸν συν-

pressant que celui qui avait déterminé leurs ancêtres à nommer, contre
les lois, Scipion consul : ils n'avaient pas à craindre la ruine de leur
ville; ils ne voulaient que détruire Carthage.» Ces raisons l'emportèrent,
et Marius ayant ramené son armée d'Afrique, prit possession du con-
sulat le premier jour de Janvier, jour où commence l'année romaine ;
il entra dans Rome en triomphe, et fit voir aux Romains un spectacle
qu'ils avaient peine à croire, Jugurtha captif ; car personne n'aurait
osé se flatter de voir finir cette guerre du vivant de ce prince. Tant il
savait se plier avec souplesse à toutes les variations de la fortune ! tant
son courage était secondé par sa finesse ! On dit que pendant la mar-
che du triomphe il perdit le sens, et que, la pompe finie, il fut con-
duit dans une prison, où les licteurs, pressés d'avoir sa dépouille,
déchirèrent sa robe et lui arrachèrent les deux bouts des oreilles, pour

ἐκείνης διὰ ἣν
ἀπέδειξαν τὸν Σκιπίωνα
ὕπατον
παρὰ τοὺς νόμους,
οὐ φοβούμενοι
ἀποβαλεῖν τὴν ἑαυτῶν,
ἀλλὰ ἐπιθυμοῦντες
ἀνελεῖν τὴν Καρχηδονίων.
Ταῦτα ἔδοξε·
καὶ Μάριος
διακομισθεὶς ἐκ Λιβύης
μετὰ στρατεύματος,
καλάνδαις Ἰανουαρίαις αὐταῖς,
ἣν
Ῥωμαῖοι ἄγουσιν
ἀρχὴν ἔτους,
ἀνέλαβέ τε τὴν ὑπατείαν,
καὶ εἰσήλασε τὸν θρίαμβον,
ἐπιδειξάμενος Ῥωμαίοις
θέαμα ἄπιστον,
Ἰουγούρθαν αἰχμάλωτον
οὗ ζῶντος,
οὐδὲ εἷς ἂν ἤλπισε
κρατήσειν πολεμίων.
Οὕτως ἦν τις ἀνὴρ ποικίλος
ὁμιλῆσαι τύχαις,
καὶ ἔχων τὸ θυμοειδὲς
μεμιγμένον πολλῇ πανουργίᾳ.
Ἀλλά γε
πομπευθείς,
ἐξέστη τότε, ὡς λέγουσι,
τοῦ φρονεῖν·
καὶ μετὰ τὸν θρίαμβον
ἐμπεσὼν εἰς τὸ δεσμωτήριον,
ὡς οἱ μὲν περιέῤῥηξαν βίᾳ
τὸν χιτωνίσκον αὐτοῦ,
οἱ δὲ
σπεύδοντες ἀφελέσθαι βίᾳ
τὸ ἐλλόβιον χρυσοῦν
συναπέῤῥηξαν ἅμα

que celle pour laquelle
ils avaient élu Scipion
consul
contre les lois,
n'ayant pas peur
de perdre la *ville* d'eux-mêmes,
mais desirant
renverser celle des Carthaginois.
Cet *avis* prévalut :
et Marius
ayant été transporté d'Afrique
avec l'armée,
aux Calendes de Janvier même,
lequel *commencement*
les Romains prennent
pour commencement de l'année,
et prit-possession du consulat,
et mena le triomphe,
ayant montré aux Romains
un spectacle incroyable,
Jugurtha captif :
lequel vivant,
personne n'aurait espéré
devoir-vaincre les ennemis.
Tant il était un homme rusé
pour s'accorder aux événements,
et ayant le courage
mêlé à beaucoup d'artifice.
Mais certes
ayant-été-mené-en-triomphe,
il sortit alors, comme on dit,
du être-sensé (devint fou);
et après le triomphe
ayant été jeté dans la prison,
lorsque les uns déchirèrent par force
la tunique de lui,
et les autres
s'efforçant d'enlever par force
la boucle-d'oreille d'or
arrachèrent en même temps

ἀπέῤῥηξαν, ὡσθεὶς δὲ γυμνὸς εἰς τὸ βάραθρον I κατεβλήθη, μεστὸς ὢν ταραχῆς καὶ διασεσηρώς· « Ἡράκλεις, εἶπεν, ὡς ψυχρὸν ὑμῶν τὸ βαλανεῖον! » Ἀλλὰ τοῦτον μέν, ἓξ ἡμέραις ζυγομαχήσαντα τῷ λιμῷ, καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἐχρεμασθέντα τῆς τοῦ ζῆν ἐπιθυμίας, εἶχεν ἀξία δίκη τῶν ἀσεβημάτων. Ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσοῦ μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας, ἀργύρου δὲ ἀσήμου πενταχισχιλίας ἑπτακοσίας ἑβδομήκοντα πέντε, νομίσματος δὲ δραχμὰς ἑπτακισχιλίας ἐπὶ μυριάσιν ὀκτὼ καὶ εἴκοσι. Μετὰ δὲ τὴν πομπὴν ὁ Μάριος σύγκλητον ἤθροισεν ἐν Καπιτωλίῳ, καὶ παρῆλθε μέν, εἴτε λαθὼν αὐτόν, εἴτε τῇ τύχῃ χρώμενος ἀγροικότερον, ἐν τῇ θριαμβικῇ κατασκευῇ. Ταχὺ δὲ τὴν βουλὴν ἀχθεσθεῖσαν αἰσθόμενος, ἐξανέστη, καὶ μεταλαβὼν τὴν περιπόρφυρον, αὖθις ἦλθεν.

avoir les anneaux d'or qu'il y portait; jeté nu dans un cachot, ayant l'esprit aliéné, il dit en souriant : « Par Hercule, que vos étuves sont froides! » Après avoir lutté six jours entiers contre la faim, en conservant toujours l'espérance de vivre, il trouva, dans une mort misérable, la juste punition de ses forfaits. On porta, dit-on, dans ce triomphe, trois mille sept livres pesant d'or, cinq mille sept cent soixante-quinze d'argent, et dix-sept mille vingt-huit drachmes d'espèces monnayées. Marius, après son triomphe, assembla le sénat au Capitole; et, soit distraction, soit abus insolent de sa fortune, il entra dans la salle avec sa robe de triomphateur. Mais, s'étant aperçu sur-le-champ de l'indignation de tout le sénat, il sortit; et, ayant remis sa robe prétexte, il revint prendre sa place.

| | |
|---|---|
| τὸν λοβόν, | le bout-de-l'oreille, |
| ὠσθεὶς δὲ | et qu'ayant été poussé |
| κατεβλήθη γυμνὸς | il fut jeté nu |
| εἰς τὸ βάραθρον, | dans le cachot, |
| ὢν μεστὸς ταραχῆς, | étant plein de trouble, |
| καὶ διασεσηρώς· | et ayant souri-amèrement : |
| « Ἡράκλεις, εἶπεν, | « Par Hercule, dit-il, |
| ὡς τὸ βαλανεῖον ὑμῶν ψυχρόν ! » | que le bain de vous *est* froid ! » |
| Ἀλλὰ δίκη ἀξία | Mais une punition digne |
| τῶν ἀσεβημάτων | de ses sacrilèges |
| εἶχε τοῦτον | eût lui |
| ζυγομαχήσαντα μὲν τῷ λιμῷ | à la vérité ayant lutté-contre la faim |
| ἓξ ἡμέραις, | six jours, |
| καὶ ἐκκρεμασθέντα | et ayant été suspendu |
| μέχρι τῆς ἐσχάτης ὥρας | jusqu'à la dernière heure |
| τῆς ἐπιθυμίας τοῦ ζῆν. | au desir de vivre. |
| Λέγουσι δὲ | Mais on rapporte |
| τρισχιλίας μὲν καὶ ἑπτὰ λίτρας | d'un côté trois-mille et sept livres |
| χρυσοῦ, | d'or, |
| πεντακισχιλίας δὲ ἑπτακοσίας | et de l'autre cinq-mille sept-cent |
| ἑβδομήκοντα πέντε | septante cinq *livres* |
| ἀργύρου ἀσήμου, | d'argent sans-figure, |
| ἑπτακισχιλίας δὲ | et sept-mille |
| ἐπὶ μυριάσι | au-dessus de dix mille |
| καὶ εἴκοσιν ὀκτὼ δραχμὰς | et vingt-huit drachmes |
| νομίσματος | d'argent-monnayé |
| κομισθῆναι ἐν τῷ θριάμβῳ. | avoir été portées dans le triomphe. |
| Μετὰ δὲ τὴν πομπὴν | Mais après la pompe |
| ὁ Μάριος ἤθροισε σύγκλητον | Marius assembla le sénat |
| ἐν Καπιτωλίῳ, | dans le Capitole, |
| καὶ παρῆλθε μὲν | et se présenta à la vérité |
| ἐν τῇ κατασκευῇ θριαμβικῇ, | dans le costume triomphal, |
| εἴτε λαθὼν αὐτόν, | soit s'ignorant lui-même, |
| εἴτε χρώμενος ἀγροικότερον | soit usant trop insolemment |
| τῇ τύχῃ. | de la fortune. |
| Ταχὺ δὲ αἰσθόμενος | Mais bientôt ayant senti |
| τὴν βουλὴν ἀχθεσθεῖσαν, | le sénat irrité, |
| ἐξανέστη, | il se leva, |
| καὶ μεταλαβὼν τὴν περιπόρφυρον, | et ayant repris la prétexte, |
| ἦλθεν αὖθις. | il vint de nouveau. |

**XIII.** Ἐν δὲ τῇ στρατείᾳ τὴν δύναμιν διεπόνει καθ' ὁδόν, ἐξασκῶν δρόμοις τε παντοδαποῖς καὶ μακραῖς ὁδοιπορίαις, ἑαυτὸν δ' ἀχθοφορεῖν ἀναγκάζων καὶ αὐτουργεῖν τὰ πρὸς τὴν δίαιταν. Ὥστε καὶ μετὰ ταῦτα τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα ποιοῦντας ἡμιόνους Μαριανοὺς καλεῖσθαι. Καίτοι τινὲς αἰτίαν ἑτέραν τοῦ λόγου τούτου νομίζουσι. Σκιπίωνος γάρ, ὅτε Νομαντίαν ἐπολιόρκει, βουληθέντος ἐπιδεῖν μὴ μόνον τὰ ὅπλα, μηδὲ τοὺς ἵππους, ἀλλὰ καὶ τοὺς ὀρεῖς καὶ τὰς ἁμάξας, ὅπως ἑκάστοις ἐξησκημένα καὶ παρεσκευασμένα τυγχάνοι, προαγαγεῖν τὸν Μάριον ἵππον τε κάλλιστα τεθραμμένον ὑπ' αὐτοῦ, καὶ ἡμίονον εὐεξίᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. Ἡσθέντος οὖν τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι, καὶ πολλάκις αὐτῶν μνησθέντος,

**XIII.** Quand il partit pour son expédition, il exerça ses sodats pendant la marche, les accoutuma à faire toutes sortes de courses et de traites fort longues, et les obligea de porter leurs bagages et de préparer eux-mêmes leur nourriture. Aussi, longtemps après, les soldats qui aimaient le travail et exécutaient sans murmurer tout ce qu'on leur ordonnait, étaient-ils appelés les mulets de Marius. D'autres, il est vrai, donnent une origine différente à ce proverbe. Ils disent qu'au siège de Numance, Scipion ayant voulu visiter non seulement les armes et les chevaux de ses soldats, mais encore leurs chariots et leurs mulets, pour voir si on les tenait en bon état et prêts à servir, Marius amena son cheval qu'il pansait lui-même, et qui était très-bien tenu, ainsi que son mulet, qui, par son embonpoint, sa force et sa douceur, effaçait tous les autres mulets de l'armée. Le général, charmé de l'état où il voyait les bêtes de service de Marius, et en ayant depuis souvent parlé, il passa en proverbe de dire, pour

XIII. Ἐν δὲ τῇ στρατείᾳ
διεπόνει τὴν δύναμιν
κατὰ ὁδόν,
ἐξασκῶν
δρόμοις τε παντοδαποῖς
καὶ μακραῖς ὁδοιπορίαις,
ἀναγκάζων
ἀχθοφορεῖν ἑαυτὸν
καὶ αὐτουργεῖν
τὰ πρὸς τὴν δίαιταν.
Ὥστε καὶ μετὰ ταῦτα
τοὺς φιλοπόνους
καὶ ποιοῦντας σιωπῇ
μετὰ εὐκολίας
τὰ προστασσόμενα,
καλεῖσθαι ἡμιόνους Μαριανούς.
Καίτοι τινὲς νομίζουσιν
ἑτέραν αἰτίαν τούτου τοῦ λόγου.
Σκιπίωνος γάρ,
ὅτε ἐπολιόρκει Νομαντίαν,
βουληθέντος ἐπιδεῖν
μὴ μόνον τὰ ὅπλα,
μηδὲ τοὺς ἵππους,
ἀλλὰ καὶ τοὺς ὀρεῖς
καὶ τὰς ἁμάξας,
ὅπως τυγχάνοι ἐξησκημένα
καὶ παρεσκευασμένα
ἑκάστοις,
τὸν Μάριον προαγαγεῖν
ἵππον τε
τεθραμμένον ὑπὸ αὐτοῦ κάλλιστα,
καὶ ἡμίονον
διαφέροντα πολὺ τῶν ἄλλων
εὐεξίᾳ καὶ πραότητι
καὶ ῥώμῃ.
Τοῦ στρατηγοῦ οὖν ἡσθέντος
τοῖς θρέμμασι τοῦ Μαρίου,
καὶ πολλάκις
μνησθέντος αὐτῶν,
οὕτως ἄρα

XII. Mais dans la campagne
il fatiguait son armée
le long du chemin,
*l'*exerçant
et par des courses de-toute-sorte
et par de longues marches,
forçant *chacun*
de porter-les-fardeaux soi-même
et de faire-soi-même
les choses pour la nourriture.
De sorte que même après cela
ceux qui-aimaient-le-travail
et qui faisaient en silence
avec docilité
les choses ordonnées,
être appelés mulets de-Marius.
Cependant quelques-uns pensent
une cause autre *être* de ce dicton.
En effet Scipion,
lorsqu'il assiégeait Numance,
ayant voulu examiner
non seulement les armes,
ni les chevaux,
mais encore les mulets
et les chariots,
comment ils se trouvaient entretenus
et soignés
par chacun,
Marius avoir fait-avancer
et un cheval
nourri par lui très-bien,
et un mulet
l'emportant de beaucoup sur les autres
par la santé et la docilité
et par la force.
Le général donc ayant été charmé
des bêtes-nourries par Marius,
et plusieurs fois
ayant mentionné elles,
ainsi donc

οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον, Μαριανὸν ἡμίονον προσαγορεύειν.

**XIV.** Εὐτύχημα δὲ δοκεῖ τῷ Μαρίῳ μέγα γενέσθαι. Τῶν γὰρ βαρβάρων ὥσπερ τινὰ παλίῤῥοιαν τῆς ὁρμῆς λαβόντων, καὶ ῥυέντων πρότερον ἐπὶ τὴν Ἰβηρίαν, χρόνον ἔσχε καὶ τὰ σώματα γυμνάσαι τῶν ἀνδρῶν, καὶ τὰ φρονήματα πρὸς τὸ θαῤῥεῖν ἀναῤῥῶσαι, τὸ δὲ μέγιστον, αὐτοῖς οἷος ἦν κατανοηθῆναι. Τὸ γὰρ ἐν ἀρχῇ σκυθρωπὸν αὐτοῦ, καὶ περὶ τὰς τιμωρίας δυσμείλικτον, ἐθισθεῖσι μηδὲν ἁμαρτάνειν, μηδὲ ἀπειθεῖν, ἅμα τῷ δικαίῳ σωτήριον ἐφαίνετο· τήν τε τοῦ θυμοῦ σφοδρότητα, καὶ τὸ τραχὺ τῆς φωνῆς καὶ ἀγριωπὸν τοῦ προσώπου συντρεφόμενον κατὰ μικρόν, οὐχ αὑτοῖς ἐνόμιζον εἶναι φοβερόν, ἀλλὰ τοῖς πολεμίοις. Μάλιστα δ' ἡ περὶ τὰς κρίσεις ὀρθότης αὐτοῦ τοῖς στρατιώ-

louer avec raillerie un homme laborieux, assidu et patient, que c'était un mulet de Marius.

XIV. Il semble que ce fut pour Marius une grande faveur de la fortune que les barbares, par une sorte de reflux, allassent d'abord inonder l'Espagne : ce retard lui donna le temps d'exercer ses soldats, de leur inspirer du courage et de l'audace, et, ce qui était encore plus important, de leur faire connaître leur général. Sa dureté dans le commandement, sa rigueur inflexible dans les punitions, une fois qu'ils furent habitués à obéir et à ne plus manquer à leur devoir, leur parurent justes et salutaires; quand ils eurent vécu quelque temps avec lui, ils virent que sa colère et ses emportements, l'âpreté de sa voix, l'air farouche de son visage, n'étaient pas redoutables pour eux, mais pour les ennemis. Rien ne les charmait tant que sa droiture dans

τοὺς σκώπτοντας ἐν ἐπαίνῳ
τὸν ἐνδελεχῆ
καὶ τλήμονα καὶ φιλόπονον,
προσαγορεύειν
ἡμίονον Μαριανόν.

XIV. Μέγα δὲ εὐτύχημα
δοκεῖ γενέσθαι τῷ Μαρίῳ.
Τῶν γὰρ βαρβάρων λαβόντων
ὥσπερ τινὰ παλίῤῥοιαν
τῆς ὁρμῆς,
καὶ ῥυέντων πρότερον
ἐπὶ τὴν Ἰβηρίαν,
ἔσχε χρόνον
καὶ γυμνάσαι
τὰ σώματα τῶν ἀνδρῶν,
καὶ ἀναῤῥῶσαι τὰ φρονήματα
πρὸς τὸ θαῤῥεῖν,
τὸ δὲ μέγιστον,
κατανοηθῆναι αὐτοῖς
οἷος ἦν.
Τὸ γὰρ σκυθρωπὸν αὐτοῦ
ἐν ἀρχῇ,
καὶ δυσμείλικτον
πρὸς τὰς τιμωρίας,
ἐφαίνετο σωτήριον
ἅμα τῷ δικαίῳ
ἐθισθεῖσι
ἁμαρτάνειν μηδὲν
μηδὲ ἀπειθεῖν·
καὶ ἐνόμιζον
τὴν σφοδρότητα τοῦ θυμοῦ,
καὶ τὸ τραχὺ τῆς φωνῆς
καὶ ἀγριωπὸν τοῦ προσώπου
συντρεφόμενον
κατὰ μικρόν,
εἶναι φοβερὸν οὐχ αὑτοῖς,
ἀλλὰ τοῖς πολεμίοις.
Μάλιστα δὲ ἡ ὀρθότης αὐτοῦ
περὶ τὰς κρίσεις
ἤρεσκε τοῖς στρατιώταις.

ceux qui raillaient dans la louange
celui *qui était* assidu
et patient et ami-du-travail,
*l'*appeler
mulet de-Marius.

XIV. Mais un grand bonheur
semble avoir été à Marius.
Car les barbares ayant pris
comme un reflux
de leur élan,
et s'étant répandus d'abord
sur l'Espagne,
il eut le temps
et d'exercer
les corps des hommes,
et de relever leurs esprits
vers le avoir-confiance,
et *ce qui était* le plus grand *avantage*,
d'être-bien-connu d'eux
quel il était.
Car la sévérité de lui
dans le commandement,
et son inflexibilité
pour les châtiments,
paraissait salutaire
avec la justice
à eux accoutumés
à ne ne manquer-au-devoir en rien
et à ne pas désobéir :
et ils pensaient
la violence du caractère,
et l'âpreté de la voix
et la sévérité du visage
étant accoutumée
peu à peu,
être redoutables non à eux-mêmes,
mais aux ennemis.
Mais surtout la droiture de lui
dans les jugements
plaisait aux soldats.

ταις ἤρεσκεν.....

Τοῦτ' εἰς τὴν Ῥώμην ἀπαγγελθέν, οὐχ ἥκιστα τῷ Μαρίῳ συνέπραξε τὴν τρίτην ὑπατείαν [1]· ἅμα δὲ καὶ τῶν βαρβάρων ἔτους ὥρᾳ προσδοκίμων ὄντων, ἐβούλοντο μετὰ μηδενὸς ἄλλου στρατηγοῦ κινδυνεῦσαι πρὸς αὐτούς. Οὐ μὴν ἦκον ὡς προσεδοκῶντο ταχέως, ἀλλὰ πάλιν διῆλθε τῷ Μαρίῳ ὁ τῆς ὑπατείας χρόνος. Ἐνισταμένων δὲ τῶν ἀρχαιρεσιῶν, καὶ τοῦ συνάρχοντος αὐτοῦ τελευτήσαντος, ἀπολιπὼν ἐπὶ τῶν δυνάμεων Μάνιον Ἀκύλλιον [2], αὐτὸς ἦκεν εἰς Ῥώμην. Μετιόντων δὲ πολλῶν καὶ ἀγαθῶν τὴν ὑπατείαν, Λούκιος Σατορνῖνος [3], ὁ μάλιστα τῶν δημάρχων ἄγων τὸ πλῆθος, ὑπὸ τοῦ Μαρίου τεθεραπευμένος, ἐδημηγόρει, κελεύων ἐκεῖνον ὕπατον αἱρεῖσθαι. Θρυπτομένου δὲ τοῦ Μαρίου, καὶ παραιτεῖσθαι τὴν ἀρχὴν φάσκοντος, ὡς δὴ μὴ δεομένου, προδότην αὐτὸν ὁ Σατορνῖνος ἀπεκάλει τῆς πα-

les jugements. . . . . .

Ce jugement, connu à Rome, ne contribua pas peu à faire obtenir à Marius un troisième consulat; d'ailleurs on attendait les barbares au printemps, et les soldats ne voulaient pas se risquer contre eux sous un autre général. Mais ils ne vinrent pas aussitôt qu'on l'avait cru; et le troisième consulat de Marius expira. Quand le temps des comices approcha, la mort de l'autre consul obligea Marius de laisser le commandement à Manius Acilius, et de se rendre à Rome. Plusieurs Romains des plus distingués s'étaient mis sur les rangs; mais Lucius Saturninus, celui des tribuns qui avait le plus de pouvoir sur la multitude, gagné par Marius, haranguait le peuple pour lui persuader d'élire encore Marius. Comme celui-ci faisait semblant de refuser, qu'il affectait même de ne pas se soucier de cette faveur, Saturninus l'accusait de trahir sa patrie, en ne voulant pas, dans un tel danger, ac-

. . . . . ..... ...

Τοῦτο ἀπαγγελθὲν εἰς τὴν Ῥώμην, Cela annoncé à Rome,
συνέπραξεν οὐχ ἥκιστα fit-avoir non très-peu (surtout)
τῷ Μαριῳ à Marius
τὴν τρίτην ὑπατείαν· le troisième consulat :
ἅμα δὲ καὶ τῶν βαρβάρων mais en même temps aussi les barba-
ὄντων προσδοκίμων étant attendus [res
ὥρᾳ ἔτους, au printemps de l'année,
ἐβούλοντο *les soldats ne* voulaient
κινδυνεῦσαι πρὸς αὐτοὺς s'exposer contre eux
μετὰ μηδενὸς ἄλλου στρατηγοῦ. avec aucun autre général.
Οὐ μὴν ἦκον Cependant ils ne vinrent pas
ταχέως promptement
ὡς προσεδοκῶντο, comme ils étaient attendus,
ἀλλὰ ὁ χρόνος τῆς ὑπατείας mais le temps du consulat
διῆλθε πάλιν τῷ Μαρίῳ. passa de nouveau pour Marius.
Τῶν δὲ ἀρχαιρεσιῶν ἐνισταμένων, Et les comices approchant,
καὶ τοῦ συνάρχοντος αὐτοῦ et le collègue de lui
τελευτήσαντος, étant mort,
ἀπολιπὼν Μάνιον Ἀκύλλιον ayant laissé Manius Acilius
ἐπὶ τῶν δυνάμεων, auprès des troupes,
αὐτὸς ἦκεν εἰς Ῥώμην. lui-même vint à Rome. .
Πολλῶν δὲ καὶ ἀγαθῶν Mais beaucoup et de nobles *citoyens*
μετιόντων τὴν ὑπατείαν, briguant le consulat,
Λούκιος Σατορνῖνος, Lucius Saturninus,
ὁ τῶν δημάρχων celui des tribuns-du-peuple
ἄγων μάλιστα τὸ πλῆθος, qui menait le plus la multitude,
τεθεραπευμένος ayant été gagné
ὑπὸ τοῦ Μαρίου, par Marius,
ἐδημηγόρει, haranguait-le-peuple,
κελεύων ἐκεῖνον ordonnant celui-ci (*Marius*)
αἱρεῖσθαι ὕπατον. être élu consul.
Τοῦ δὲ Μαρίου Mais Marius
θρυπτομένου, feignant-de-ne-pas-vouloir,
καὶ φάσκοντος et répétant
παραιτεῖσθαι τὴν ἀρχήν, refuser le pouvoir,
ὡς δὴ μὴ δεομένου, comme certes ne *le* desirant pas,
ὁ Σατορνῖνος Saturninus
ἀπεκάλει προδότην τῆς πατρίδος appelait traître à la patrie
αὐτὸν φεύγοντα lui fuyant

τρίδος, ἐν κινδύνῳ τοσούτῳ φεύγοντα τὸ στρατηγεῖν. Καὶ φανερὸς μὲν ἦν ἀπιθάνως συνυποκρινόμενος τὸ προσποίημα τῷ Μαρίῳ. Τὸν δὲ καιρὸν ὁρῶντες οἱ πολλοὶ τῆς ἐκείνου δεινότητος ἅμα καὶ τύχης δεόμενον, ἐψηφίσαντο τὴν τετάρτην ὑπατείαν [1], καὶ συνάρχοντα Κάτλον αὐτῷ Λουτάτιον κατέστησαν, ἄνδρα καὶ τιμώμενον ὑπὸ τῶν ἀρίστων, καὶ τοῖς πολλοῖς οὐκ ἐπαχθῆ.

XV. Πυνθανόμενος δὲ τοὺς πολεμίους ὁ Μάριος ἐγγὺς εἶναι, διὰ ταχέων ὑπερέβαλε τὰς Ἄλπεις, καὶ τειχίσας στρατόπεδον παρὰ τῷ Ῥοδανῷ ποταμῷ, συνήγαγεν εἰς αὐτὸ χορηγίαν ἄφθονον· ὡς μηδέποτε παρὰ τὸν τοῦ συμφέροντος λογισμὸν ἐκβιασθείη δι' ἔνδειαν τῶν ἀναγκαίων εἰς μάχην καταστῆναι. Τὴν δὲ κομιδὴν ὧν ἔδει τῷ στρατεύματι, μακρὰν καὶ πολυτελῆ πρότερον οὖσαν πρὸς τὴν θάλασσαν, αὐτὸς εἰργάσατο ῥᾳδίαν καὶ

cepter le soin de la guerre. On voyait bien que ce n'était qu'une feinte, dans laquelle Saturninus jouait assez maladroitement son rôle ; mais le peuple, qui sentait que dans cette conjoncture on avait besoin de la capacité et de la fortune de Marius, lui décerna ce quatrième consulat, et lui donna pour collègue Catulus Lutatius, homme estimé des nobles, et qui n'était pas désagréable au peuple.

XV. Marius, informé que les ennemis approchaient, se hâta de repasser les Alpes ; il fortifia son camp sur le bord du Rhône, et le fournit d'une telle abondance de provisions, que jamais la disette ne pouvait le forcer à combattre quand il n'y trouverait pas son avan tage. Mais, comme il fallait faire venir par mer toutes les provisions avec beaucoup de temps et de dépense, il trouva le moyen d'en rendre

τὸ στρατηγεῖν
ἐν κινδύνῳ τοσούτῳ.
Καὶ ἦν μὲν φανερὸς
συνυποκρινόμενος
ἀπιθάνως
τὸ προσποίημα τῷ Μαρίῳ.
Οἱ δὲ πολλοὶ ὁρῶντες
τὸν καιρὸν δεόμενον
ἅμα τῆς δεινότητος
καὶ τύχης ἐκείνου,
ἐψηφίσαντο
τὴν τετάρτην ὑπατείαν,
καὶ κατέστησαν
συνάρχοντα αὐτῷ
Κάτλον Λουτάτιον,
ἄνδρα καὶ τιμώμενον
ὑπὸ τῶν ἀρίστων,
καὶ οὐκ ἐπαχθῆ τοῖς πολλοῖς.

XV. Ὁ δὲ Μάριος
πυνθανόμενος
τοὺς πολεμίους εἶναι ἐγγύς,
ὑπερέβαλε τὰς Ἄλπεις
διὰ ταχέων,
καὶ τειχίσας στρατόπεδον
παρὰ τῷ ποταμῷ Ῥοδανῷ,
συνήγαγεν εἰς αὐτὸ
χορηγίαν ἄφθονον·
ὡς μηδέποτε ἐκβιασθείη
διὰ ἔνδειαν τῶν ἀναγκαίων
καταστῆναι εἰς μάχην
παρὰ τὸν λογισμὸν
τοῦ συμφέροντος.
Αὐτὸς δὲ εἰργάσατο
ῥᾳδίαν καὶ ταχεῖαν
τὴν κομιδὴν
ὧν ἔδει
τῷ στρατεύματι,
οὖσαν πρότερον
μακρὰν καὶ πολυτελῆ
πρὸς τὴν θάλασσαν.

le commander-l'armée
dans un danger si grand.
Et il était évident
jouant-par-cette-feinte
d'une-manière-invraisemblable
la dissimulation avec Marius.
Mais la plupart voyant
la circonstance ayant besoin
en même temps de l'habileté
et de la fortune de celui-ci,
votèrent
le quatrième consulat,
et établirent
collègue à lui
Catulus Lutatius,
homme et honoré
par les nobles,
et non odieux à la multitude.

XV. Mais Marius
étant informé
les ennemis être près,
franchit les Alpes
promptement,
et ayant fortifié un camp
auprès du fleuve du Rhône,
rassembla dans le même *lieu*,
des munitions abondantes :
afin que jamais il *ne* fût forcé
par manque des *choses* nécessaires
de descendre au combat
contre la raison
de l'utilité.
Mais lui-même il rendit
facile et prompt
le transport
*des choses* dont il était-besoin
à l'armée,
étant auparavant
long et coûteux
par la mer.

ταχεῖαν. Τὰ γὰο στόματα τοῦ Ῥοδανοῦ, πρὸς τὰς ἀνακοπὰς τῆς θαλάσσης, ἰλύν τε πολλὴν λαμβάνοντα καὶ θῖνα, πηλῷ βαθεῖ συμπεπιλημένην ὑπὸ τοῦ κλύδωνος, χαλεπὸν καὶ ἐπίπονον καὶ βραχύπορον τοῖς σιταγωγοῖς ἐποίει τὸν εἴσπλουν. Ὁ δέ, τρέψας ἐνταῦθα τὸν στρατὸν σχολάζοντα, τάφρον μεγάλην ἐνέβαλε, καὶ ταύτῃ πολὺ μέρος τοῦ ποταμοῦ μεταστήσας, περιήγαγεν εἰς ἐπιτήδειον αἰγιαλόν, βαθὺ μέν, καὶ ναυσὶ μεγάλαις ἔποχον, λεῖον δὲ καὶ ἄκλυστον στόμα λαβοῦσαν πρὸς τὴν θάλασσαν [1]. Αὕτη μὲν οὖν ἀπ' ἐκείνου τὴν ἐπωνυμίαν ἔτι φυλάττει. Τῶν δὲ βαρβάρων διελόντων σφᾶς αὐτοὺς δίχα, Κίμβροι μὲν ἔλαχον διὰ Νωρικῶν [2] ἄνωθεν ἐπὶ Κάτλον χωρεῖν, καὶ τὴν πάροδον ἐκείνην βιάζεσθαι· Τεύτονες δὲ καὶ Ἄμβρωνες [3] διὰ

le transport prompt et facile. Les marées avaient rempli de vase et de gravier les embouchures du Rhône, et la rive de ce fleuve était couverte d'une bourbe profonde que les flots y déposaient, et qui en rendait l'entrée aussi difficile que dangereuse aux vaisseaux de charge Marius, pour occuper son armée pendant ce temps de loisir, fit creuser un large fossé, dans lequel il détourna une grande partie du fleuve et qu'il conduisit jusqu'à un endroit du rivage sûr et commode ; le fossé était assez profond pour contenir de grands vaisseaux, et son embouchure dans la mer était unie, et à l'abri des vagues. Ce fossé s'appelle encore aujourd'hui la fosse Mariane. Les barbares s'étant séparés en deux armées, les Cimbres gagnèrent la haute Germanie, pour aller par la Norique forcer les passages que gardait Catulus, tandis que les

| | |
|---|---|
| Τὰ γὰρ στόματα τοῦ Ῥοδανοῦ, | Car les bouches du Rhône, |
| λαμβάνοντα, | recevant, |
| πρὸς τὰς ἀνακοπὰς τῆς θαλάσσης, | par les reflux de la mer, |
| καὶ ἰλὺν πολλήν, | et un limon considérable, |
| καὶ θῖνα | et du sable |
| συμπεπιλημένην πηλῷ βαθεῖ | condensé-avec une vase épaisse |
| ὑπὸ τοῦ κλύδωνος, | par le flot, |
| ἐποίει | rendaient |
| τὸν εἴσπλουν | la navigation-de-l'entrée |
| χαλεπὸν καὶ ἐπίπονον | difficile et laborieuse |
| καὶ βραχύπορον | et étroite |
| τοῖς σιταγωγοῖς. | à ceux qui-transportaient-les-vivres. |
| Ὁ δέ, τρέψας ἐνταῦθα | Mais lui, ayant tourné là |
| τὸν στρατὸν σχολάζοντα, | l'armée inactive, |
| ἐνέβαλε μεγάλην τάφρον, | creusa un grand fossé, |
| καὶ μεταστήσας ταύτῃ | et ayant détourné par là |
| πολὺ μέρος τοῦ ποταμοῦ, | une grande partie du fleuve, |
| περιήγαγεν | il *le* conduisit |
| εἰς αἰγιαλὸν ἐπιτήδειον, | vers un rivage convenable, |
| βαθὺ μὲν | d'un côté profond |
| καὶ ἔποχον μεγάλαις ναυσί, | et suffisant à de grands vaisseaux, |
| λαβοῦσαν δὲ | et d'un autre côté prenant |
| στόμα λεῖον | une embouchure unie |
| καὶ ἄκλυστον | et non-agitée-par-les-flots |
| πρὸς τὴν θάλασσαν. | dans la mer. |
| Αὕτη μὲν οὖν | Or ce même *fossé* |
| φύλαττει ἔτι | conserve encore |
| τὴν ἐπωνυμίαν | son nom |
| ἀπὸ ἐκείνου. | *qu'il reçut* de lui (Marius). |
| Τῶν δὲ βαρβάρων | Mais les Barbares |
| διελόντων σφᾶς αὐτοὺς | ayant divisé eux-mêmes |
| δίχα, | en deux, |
| οἱ μὲν Κίμβροι | d'un côté les Cimbres |
| ἔλαχον | eurent-en-partage |
| χωρεῖν ἄνωθεν | de marcher en haut |
| ἐπὶ Κάτλον | contre Catulus |
| διὰ Νωρικῶν, | à travers les Noriques, |
| καὶ βιάζεσθαι | et de forcer |
| ἐκείνην τὴν πάροδον· | ce passage : [brons |
| Τεύτονες δὲ καὶ Ἄμβρωνες | et de l'autre, les Teutons et les Am- |

Λιγύων ἐπὶ Μάριον παρὰ θάλατταν. Καὶ Κίμβροις μὲν ἐγένετο πλείων ἡ διατριβὴ καὶ μέλλησις, Τεύτονες δὲ καὶ Ἄμβρωνες, ἄραντες εὐθὺς καὶ διελθόντες τὴν ἐν μέσῳ χώραν, ἐφαίνοντο πλήθει τ' ἄπειροι καὶ δυσπρόσωποι τὰ εἴδη, φθόγγον τε καὶ θόρυβον οὐχ ἑτέροις ὁμοιοι. Περιβαλόμενοι δὲ τοῦ πεδίου μέγα μέρος, καὶ στρατοπεδεύσαντες, προεκαλοῦντο τὸν Μάριον εἰς μάχην.

XVI. Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐν δὲ τῷ χάρακι τοὺς στρατιώτας συνεῖχε, καὶ καθήπτετο πικρῶς τῶν θρασυνομένων, καὶ τοὺς προσπίπτοντας ὑπὸ θυμοῦ καὶ μάχεσθαι βουλομένους, προδότας ἀπεκάλει τῆς πατρίδος. Οὐ γὰρ ὑπὲρ θριάμβων τὴν φιλοτιμίαν εἶναι καὶ τροπαίων, ἀλλ' ὅπως νέφος τοσοῦτον πολέμου καὶ σκηπτὸν ὠσάμενοι διασώσουσι τὴν Ἰταλίαν. Ταῦτα μὲν ἰδίᾳ πρὸς τοὺς ἡγεμόνας καὶ τοὺς ὁμοτίμους

Teutons avec les Ambrons venaient par la Ligurie, le long de la mer, contre Marius. Les Cimbres retardèrent assez longtemps leur départ; mais les Teutons et les Ambrons étant partis sans différer, eurent bientôt franchi l'espace qui les séparaient des Romains; c'était un nombre infini de barbares hideux à voir, et dont la voix et les cris ne ressemblaient pas à ceux des autres hommes. Ils embrassèrent dans l'assiette de leur camp une étendue immense; et, dès qu'il fut établi, ils provoquèrent Marius au combat.

XVI. Marius, qui s'inquiétait peu de leurs défis, retint ses soldats dans le camp, et fit de sévères réprimandes à ceux qui, témoignant une fierté déplacée, et n'écoutant que leur colère, voulaient aller combattre. Il les appelait traîtres à la patrie et leur représentait qu'ils devaient avoir en vue, non des triomphes et des trophées, mais la gloire de dissiper cette nuée foudroyante qui les menaçait et de sauver l'Italie. C'était le langage qu'il tenait en particulier aux capi-

ἐπὶ Μάριον
διὰ Λιγύων,
παρὰ θάλασσαν.
Καὶ μὲν
ἡ διατριβὴ καὶ μέλλησις
ἐγένετο πλείων Κίμβροις·
Τεύτονες δὲ καὶ Ἄμβρωνες
ἄραντες εὐθὺς
καὶ διελθόντες τὴν χώραν
ἐν μέσῳ,
ἐφαίνοντο
ἄπειροί τε πλήθει
καὶ δυσπρόσωποι τὰ εἴδη.
καὶ οὐχ ὅμοιοι ἑτέροις
φθόγγον τε καὶ θόρυβον.
Περιβαλόμενοι δὲ
μέγα μέρος τοῦ πεδίου,
καὶ στρατοπεδεύσαντες,
προεκαλοῦντο τὸν Μάριον
εἰς μάχην.
XVI. Ὁ δὲ
οὐκ ἐφρόντιζε μὲν τούτων,
συνεῖχε δὲ τοὺς στρατιώτας
ἐν τῷ χάρακι,
καὶ καθήπτετο πικρῶς
τῶν θρασυνομένων,
καὶ ἀπεκάλει
προδότας τῆς πατρίδος
τοὺς προσπίπτοντας ὑπὸ θυμοῦ
καὶ βουλομένους μάχεσθαι.
Τὴν γὰρ φιλοτιμίαν
οὐκ εἶναι
ὑπὲρ θριάμβων καὶ τροπαίων,
ἀλλὰ ὅπως,
ὠσάμενοι τοσοῦτον νέφος
καὶ σκηπτὸν πολέμου,
διασώσουσι τὴν Ἰταλίαν
Ἔλεγε μὲν ταῦτα ἰδίᾳ
πρὸς τοὺς ἡγεμόνας
καὶ τοὺς ὁμοτίμους,

contre Marius
à travers les Liguriens
le long de la mer.
Et d'un côté
la lenteur et le retard
fut plus grand aux Cimbres :
mais de l'autre, les Teutons et les Ambrons
ayant-levé-le-camp aussitôt
et ayant traversé le pays
dans le milieu (intermédiaire),
paraissaient
et immenses par le nombre,
et hideux *quant* aux formes,
et non semblables à d'autres
et par la voix et par les clameurs.
Mais ayant environné
une grande *partie* de la plaine,
et ayant-assis-leur-camp,
ils provoquaient Marius
au combat.
XVI. Mais lui
d'un côté ne s'occupait pas d'eux,
et de l'autre contenait les soldats
dans le retranchement,
et réprimandait sévèrement
ceux qui-se-montraient-fiers
et appelait
traîtres à la patrie
ceux qui fondaient-sur *l'ennemi* par
et voulaient combattre.
Car *il disait* l'ambition
n'être pas
pour des triomphes et des trophées,
mais comment,
ayant repoussé un si grand nuage
et un *tel* orage de guerre,
ils sauveront l'Italie.
D'un côté il disait cela en particulier
aux généraux
et aux officiers,

ἔλεγε, τοὺς δὲ στρατιώτας ὑπὲρ τοῦ χάρακος ἱστὰς ἀνὰ μέρος, καὶ θεᾶσθαι κελεύων, εἴθιζε τὴν μορφὴν ἀνέχεσθαι τῶν πολεμίων, καὶ τὴν φωνὴν ὑπομένειν, ὅλως οὖσαν ἀλλόκοτον καὶ θηριώδη, σκευήν τε καὶ κίνησιν αὐτῶν καταμανθάνειν, ἅμα τῷ χρόνῳ τὰ φαινόμενα δεινὰ ποιουμένους τῇ διανοίᾳ χειροήθη διὰ τῆς ὄψεως. Ἠγεῖτο γὰρ πολλὰ μὲν ἐπιψεύδεσθαι τῶν οὐ προσόντων τὴν καινότητα τοῖς φοβεροῖς· ἐν δὲ τῇ συνηθείᾳ, καὶ τὰ φύσει δεινὰ τὴν ἔκπληξιν ἀποβάλλειν. Τῶν δ' οὐ μόνον ἡ καθ' ἡμέραν ὄψις ἀφῄρει τι τοῦ θάμβους, ἀλλὰ καὶ πρὸς τὰς ἀπειλὰς τῶν βαρβάρων καὶ τὸν κόμπον, οὐκ ἀνεκτὸν ὄντα, θυμὸς αὐτοῖς παριστάμενος ἐξεθέρμαινε καὶ διέφλεγε τὰς ψυχάς, οὐ μόνον ἀγόντων καὶ φερόντων τὰ πέριξ ἅπαντα τῶν πολεμίων, ἀλλὰ καὶ τῷ χάρακι ποιουμένων προσβολὰς μετὰ

taines et aux principaux officiers; pour les soldats, il les plaçait les uns après les autres sur les remparts du camp, d'où ils pouvaient voir les ennemis, afin de les accoutumer à leur figure, au ton rude et sauvage de leur voix, à leur armure, à leurs mouvements extraordinaires; et il leur rendit ainsi familier par l'habitude ce qui d'abord leur avait paru si effrayant. Il savait que la nouveauté fait souvent illusion et exagère les choses que l'on craint, au lieu que l'habitude ôte même à celles qui sont redoutables tout l'effroi qu'elles inspiraient d'abord. Cette vue continuelle des ennemis diminua peu à peu l'étonnement dont les soldats avaient été frappés; et bientôt leur colère, ranimée par les menaces et les bravades insupportables des barbares, échauffa et enflamma leur courage; car, non contents de piller et de ravager tous les environs, ils venaient les insulter jusque

ἱστὰς δὲ τοὺς στρατιώτας
ἀνὰ μέρος
ὑπὲρ τοῦ χάρακος,
καὶ κελεύων θεᾶσθαι,
εἴθιζεν ἀνέχεσθαι
τὴν μορφὴν τῶν πολεμίων,
καὶ ὑπομένειν τὴν φωνήν,
οὖσαν ὅλως
ἀλλόκοτον καὶ θηριώδη,
καταμανθάνειν τε
σκευήν τε καὶ κίνησιν αὐτῶν,
ποιουμένους ἅμα τῷ χρόνῳ
χειροήθη τῇ διανοίᾳ
διὰ τῆς ὄψεως
τὰ φαινόμενα δεινά.
Ἡγεῖτο γὰρ
τὴν μὲν καινότητα
τῶν οὐ προσόντων
ἐπιψεύδεσθαι πολλὰ
τοῖς φοβεροῖς·
ἐν δὲ τῇ συνηθείᾳ
καὶ τὰ δεινὰ φύσει
ἀποβάλλειν τὴν ἔκπληξιν.
Ἡ δὲ ὄψις κατὰ ἡμέραν
οὐ μόνον ἀφήρει τῶν
τὶ τοῦ θάμβους,
ἀλλὰ καὶ θυμὸς
παριστάμενος αὐτοῖς
ἐξεθέρμαινε καὶ διέφλεγε
τὰς ψυχὰς
πρὸς τὰς ἀπειλὰς
καὶ τὸν κόμπον
ὄντα οὐκ ἀνεκτὸν
τῶν βαρβάρων,
τῶν πολεμίων
οὐ μόνον ἀγόντων
καὶ φερόντων
ἅπαντα τὰ πέριξ
ἀλλὰ καὶ ποιουμένων
προσβολὰς τῷ χάρακι

de l'autre ayant posté les soldats
par parties
sur le retranchement,
et *leur* ordonnant de regarder,
il *les* habituait à supporter
la figure des ennemis,
et à soutenir leur voix,
qui était entièrement
étrange et féroce,
et à apprendre *à connaître*
et les armes et les mouvements d'eux,
se faisant avec le temps
faciles par la pensée
au moyen de la vue
les choses qui paraissaient terribles.
Car il pensait
la nouveauté
des choses non présentes
faire-des-mensonges nombreux
aux timides ;
mais avec l'habitude
même les choses terribles par nature
dépouiller leur effroi.
Mais la vue de chaque jour
non seulement enlevait à ces choses
quelque chose de la crainte,
mais encore la colère
excitée chez eux
échauffait et enflammait
les âmes
contre les menaces
et la jactance
qui n'était pas supportable
des barbares
les ennemis
non-seulement emmenant
et emportant
toutes les *choses* à l'entour,
mais encore faisant
des assauts au retranchement

πολλῆς ἀσελγείας καὶ θρασύτητος. Ὥστε φωνὰς καὶ διαγαναχτήσεις τῶν στρατιωτῶν πρὸς τὸν Μάριον ἐκφέρεσθαι· « Τίνα δὴ καταγνοὺς ἀνανδρίαν ἡμῶν Μάριος εἴργει μάχης, ὥσπερ γυναῖκας, ὑπὸ κλεισὶ καὶ θυρωροῖς; Φέρε, παθόντες ἀνδρῶν πάθος ἐλευθέρων, ἐρώμεθα, πότερον ἄλλους ἀναμένει μαχουμένους ὑπὲρ τῆς Ἰταλίας, ἡμῖν δὲ λειτουργοῖς χρήσεται διὰ παντός, ὅταν δέηται [1] τάφρους ὀρύσσειν, καὶ πηλὸν ἐκκαθαίρειν, καὶ ποταμούς τινας παρατρέπειν; Ἐπὶ ταῦτα γάρ, ὡς ἔοικεν, ἥσκει τοῖς πολλοῖς πόνοις ἡμᾶς, καὶ ταῦτα τῶν ὑπατειῶν ἀποδειξάμενος ἔργα τοῖς πολίταις ἐπάνεισιν. Ἢ τὰ Κάρβωνος αὐτὸν φοβεῖ, καὶ Καιπίωνος, οὓς ἐνίκησαν οἱ πολέμιοι, πολὺ μὲν αὐτοὺς τῆς Μαρίου δόξης καὶ ἀρετῆς ἀποδέοντας, πολὺ δὲ χείρονα στρατὸν ἄγοντας; Ἀλλὰ καὶ παθεῖν

dans leur camp, avec une audace et une insolence si révoltantes, qu'ils se livrèrent à des plaintes qui parvinrent enfin jusqu'à Marius. « Quelle lâcheté Marius a-t-il donc reconnue en nous, pour nous empêcher de combattre ; pour nous tenir, comme des femmes, sous des clefs et des geôliers? Osons lui faire voir que nous sommes des hommes libres ; allons lui demander s'il attend d'autres soldats qui combattent pour l'Italie, et s'il compte ne nous employer jamais que pour creuser des fossés, nettoyer des bourbiers, ou détourner des rivières. C'est sans doute pour ces glorieux ouvrages qu'il nous a exercés à tant de travaux ; ce sont là les exploits de ses deux consulats qu'il ira présenter à ses concitoyens. Craint-il le sort de Carbon et de Cépion, que les ennemis ont vaincus? Mais ils étaient bien au-dessous de Marius en réputation et en courage, et leurs armées moins fortes que la sienne. Encore vaudrait-il mieux essuyer des pertes comme eux, en

μετὰ πολλῆς ἀσελγείας
καὶ θρασύτητος.
Ὥςτε φωνὰς [τῶν
καὶ διαγαναχτήσεις τῶν στρατιω-
ἐκφέρεσθαι πρὸς τὸν Μάριον·
« Τίνα δὴ ἀνανδρίαν ἡμῶν
Μάριος καταγνούς,
εἴργει μάχης,
ὥςπερ γυναῖκας,
ὑπὸ κλεισὶ καὶ θυρωροῖς;
Φέρε, παθόντες πάθος
ἀνδρῶν ἐλευθέρων,
ἐρώμεθα πότερον ἀναμένει
ἄλλους μαχουμένους
ὑπὲρ τῆς Ἰταλίας,
χρήσεται δὲ ἡμῖν
διὰ παντὸς
λειτουργοῖς,
ὅταν δέηται
ὀρύσσειν τάφρους,
καὶ ἐκκαθαίρειν πηλόν,
καὶ παρατρέπειν τινὰς ποταμούς;
Ὡς γὰρ ἔοικεν,
ἤσκει ἡμᾶς
τοῖς πολλοῖς πόνοις
ἐπὶ ταῦτα,
καὶ ἐπάνεισιν
ἀποδειξάμενος τοῖς πολίταις
ταῦτα ἔργα τῶν ὑπατειῶν.
Ἦ τὰ Κάρβωνος
καὶ Καιπίωνος
φοβεῖ αὐτόν,
οὓς ἀποδέοντας μὲν
αὐτοὺς
πολὺ
τῆς δόξης καὶ ἀρετῆς Μαρίου,
ἄγοντας δὲ
στρατὸν πολὺ χείρονα
οἱ πολέμιοι ἐνίκησαν;
Ἀλλὰ κάλλιον δρῶντας

avec beaucoup d'insolence
et d'audace.
Au point que les cris
et l'indignation des soldats
être portées vers Marius :
« Certes quelle lâcheté de nous
Marius ayant reconnue,
*nous* éloigne-t-il du combat,
comme des femmes
sous des clefs et des portes?
Allons, sentant le sentiment
d'hommes libres,
demandons s'il attend
d'autres devant combattre
pour l'Italie,
mais se servira de nous
pendant tout *le temps*
*comme* de manœuvres,
lorsqu'il faudra
creuser des fossés,
et nettoyer la boue,
et détourner quelques fleuves?
Car, comme il paraît,
il exerçait nous
par de nombreux travaux
pour cela,
et il s'en retournera
ayant montré aux citoyens
ces œuvres de ses consulats.
Est-ce que le *sort* de Carbon
et de Cépion
épouvante lui,
lesquels étant-loin d'un côté
eux-mêmes
de beaucoup
de la gloire et du courage de Marius,
et d'autre part conduisant
une armée beaucoup inférieure
les ennemis vainquirent?
Mais *il est* plus beau *nous* agissant

τι δρῶντας, ὡς ἐκεῖνοι, κάλλιον, ἢ καθῆσθαι πορθουμένων τῶν συμμάχων θεατάς. »

XVII. Ταῦτ' ἀκούων ὁ Μάριος ἥδετο, καὶ κατεπράϋνεν αὐτούς, ὡς οὐκ ἐκείνοις ἀπιστῶν, ἀλλ' ἔκ τινων λογίων τὸν τῆς νίκης ἅμα καιρὸν καὶ τόπον ἐκδεχόμενος. Καὶ γάρ τινα Σύραν γυναῖκα, Μάρθαν ὄνομα, μαντεύεσθαι λεγομένην[1], ἐν φορείῳ κατακειμένην σεμνῶς περιήγετο, καὶ θυσίας ἔθυεν ἐκείνης κελευούσης. Ἦν πρότερον μὲν ἀπήλασεν ἡ σύγκλητος ἐντυχεῖν ὑπὲρ τούτων βουλομένην, καὶ τὰ μέλλοντα προθεσπίζουσαν. Ἐπεὶ δὲ πρὸς τὰς γυναῖκας εἰσιοῦσα διάπειραν ἐδίδου, καὶ μάλιστα τὴν Μαρίου, ᾗ παρακαθίζουσα παρὰ τοὺς πόδας, τῶν μονομάχων ἐπιτυχῶς προηγόρευε τὸν μέλλοντα νικᾶν, ἀναπεμφθεῖσα πρὸς Μάριον ὑπ' ἐκείνης, ἐθαυμάζετο. Καὶ τὰ πολλὰ μὲν ἐν φορείῳ παρεκομίζετο, πρὸς δὲ τὰς θυσίας κατήει φοινικίδα διπλῆν[2]

combattant, que de rester tranquilles spectateurs des dégâts que souffrent nos alliés. »

XVII. Marius, charmé de ces plaintes, les calmait, en les assurant qu'il était loin de se défier d'eux ; mais que, pour obéir à certains oracles, il attendait le temps et le lieu de la victoire. Il menait partout avec lui, dans une litière, avec de grands témoignages de respect, une femme de Syrie, nommée Marthe, qui passait pour avoir l'esprit prophétique, et il n'offrait jamais de sacrifices que par son ordre. Elle avait d'abord voulu faire connaître ses prophéties au sénat, qui refusa de l'écouter. S'étant donc tournée du côté des femmes, elle leur donna quelques preuves de sa connaissance de l'avenir ; elle persuada surtout la femme de Marius, un jour qu'étant assise à ses pieds à un combat de gladiateurs, elle lui annonça fort heureusement quel serait le vainqueur ; la femme de Marius l'envoya aussitôt à son mari qui en fut dans l'admiration. Il la mena toujours à sa suite dans une litière ; quand elle allait aux sacrifices, elle

παθεῖν καί τι,
ὡς ἐκεῖνοι,
ἢ καθῆσθαι θεατὰς
τῶν συμμάχων πορθουμένων. »
XVII. Ὁ Μάριος
ἀκούων ταῦτα ἥδετο,
καὶ κατεπράϋνεν αὐτούς,
ὡς οὐκ ἀπιστῶν ἐκείνοις,
ἀλλὰ ἐκδεχόμενος
ἔκ τινων λογίων
ἅμα τὸν καιρὸν
καὶ τὸν τόπον τῆς νίκης.
Καὶ γὰρ
περιήγετο σεμνῶς
κατακειμένην ἐν φορείῳ
τινὰ γυναῖκα Σύραν,
Μάρθαν ὄνομα,
λεγομένην μαντεύεσθαι,
καὶ ἔθυε θυσίας
αὐτῆς κελευούσης.
Ἣν μὲν βουλομένην ἐντυχεῖν
περὶ τούτων,
καὶ προθεσπίζουσαν τὰ μέλλοντα,
ἡ σύγκλητος
ἀπήλασε πρότερον·
ἐπεὶ δὲ ἐδίδου διάπειραν,
εἰσιοῦσα πρὸς τὰς γυναῖκας,
καὶ μάλιστα τὴν Μαρίου,
ᾗ παρακαθίζουσα
παρὰ τοὺς πόδας,
προηγόρευεν ἐπιτυχῶς
τὸν τῶν μονομάχων
μέλλοντα νικᾶν,
ἀναπεμφθεῖσα ὑπὸ ἐκείνης
πρὸς Μάριον,
ἐθαυμάζετο.
Καὶ τὰ πολλὰ μὲν
παρεκομίζετο ἐν φορείῳ,
κατήει δὲ
πρὸς τὰς θυσίας,

souffrir même quelque chose
comme ceux-là,
que d'être assis spectateurs
de nos alliés ravagés. »
XVII. Marius
entendant cela se réjouissait,
et adoucissait eux,
comme ne se défiant pas d'eux,
mais recevant
de certains oracles
en même temps l'occasion
et le lieu de la victoire.
Et en effet
il menait-partout respectueusement
couchée dans une litière
une femme syrienne,
Marthe par le nom,
qui était dite prophétiser,
et il faisait des sacrifices
elle l'ordonnant.
Laquelle à la vérité voulant parler
sur ces choses,
et prédisant l'avenir,
le sénat
avait chassée auparavant ;
mais après qu'elle eut donné épreuve
allant vers les femmes,
et surtout vers celle de Marius,
près de laquelle s'asseyant
à ses pieds,
elle annonça heureusement
celui des gladiateurs
qui devait vaincre,
ayant été envoyée par elle
vers Marius,
elle était admirée.
Et la plupart *du temps*
elle était portée en litière,
et elle venait
aux sacrifices,

ἐμπεπορπημένη, καὶ λόγχην ἀναδεδεμένην ταινίαις καὶ στεφανώμασι φέρουσα. Τοῦτο μὲν οὖν τὸ δρᾶμα πολλοῖς ἀμφισβήτησιν παρεῖχεν, εἴτε πεπεισμένος ὡς ἀληθῶς, εἴτε πλαττόμενος, καὶ συνυποκρινόμενος ἐπιδείκνυται τὴν ἄνθρωπον. Τὸ δὲ περὶ τοὺς γῦπας θαύματος ἄξιον Ἀλέξανδρος ὁ Μύνδιος [1] ἱστόρηκε. Δύο γὰρ ἐφαίνοντο πρὸ τῶν κατορθωμάτων ἀεὶ περὶ τὰς στρατείας, καὶ παρηκολούθουν γνωριζόμενοι χαλκοῖς περιδεραίοις. Ταῦτα δὲ οἱ στρατιῶται, συλλαβόντες αὐτούς, περιῆψαν, εἶτ' ἀφῆκαν. Ἐκ δὲ τούτου γνωρίζοντες ἠσπάζοντο τοὺς γῦπας· καί, φανέντων ἐπὶ ταῖς ἐξόδοις, ἔχαιρον ὡς ἀγαθόν τι πράξοντες. Πολλῶν δὲ σημείων προφαινομένων, τὰ μὲν ἄλλα χαρακτῆρα κοινὸν εἶχεν· ἐκ δ' Ἀμερίας καὶ Τουδέρτου, πόλεων Ἰταλικῶν [2], ἀπηγγέλθη

portait une robe de la plus belle pourpre, attachée avec des agrafes, et une pique entourée de bandelettes et de guirlandes. Cette comédie fit douter à bien des gens si Marius, en produisant ainsi cette femme, était véritablement persuadé de sa science, ou s'il voulait seulement tirer parti de sa fourberie. Mais Alexandre le Myndien raconte une histoire de vautours vraiment admirable. Il dit que deux de ces oiseaux se montraient régulièrement dans le camp de Marius lorsqu'il devait gagner une bataille, et qu'ils suivaient constamment son armée. On les reconnaissait à des colliers d'airain que leur avaient mis des soldats qui les avaient pris et lâchés ensuite. Depuis ce jour-là, les soldats les saluaient de leurs cris, charmés de les voir, parce qu'ils étaient pour eux l'augure d'un heureux succès. Il y eut alors plusieurs signes, dont la plupart n'avaient rien d'extraordinaire; mais on apprit d'Amérie et de Tuderte, deux villes d'Italie, qu'il avait paru

| | |
|---|---|
| ἐμπεπορπημένη | étant agrafée |
| φοινικίδα | d'une robe-de-pourpre |
| διπλῆν | double (teinte-deux-fois), |
| καὶ φέρουσα λόγχην | et portant une lance |
| ἀναδεδεμένην ταινίαις | entourée de bandelettes |
| καὶ στρεφανώμασι. | et de guirlandes. |
| Τοῦτο μὲν οὖν δρᾶμα | Toutefois cette comédie |
| παρεῖχεν ἀμφισβήτησιν πολλοῖς, | donnait du doute à plusieurs, |
| εἴτε πεπεισμένος ὡς ἀληθῶς, | si persuadé véritablement, |
| εἴτε πλαττόμενος | ou si feignant |
| καὶ συνυποκρινόμενος | et jouant-la-comédie-avec *elle* |
| ἐπιδείκνυται τὴν ἄνθρωπον. | *Marius* montre cette femme. |
| Ἀλέξανδρος δὲ ὁ Μύνδιος | Mais Alexandre le Myndien |
| ἱστόρηκε τὸ ἄξιον θαύματος | a raconté le *fait* digne d'étonnement |
| περὶ τοὺς γῦπας. | sur les vautours. |
| Πρὸ γὰρ τῶν κατορθωμάτων | Car avant les succès |
| δύο ἐφαίνοντο ἀεὶ | deux *vautours* paraissaient toujours |
| περὶ τὰς στρατείας, | autour des armées, |
| καὶ παρηκολούθουν | et suivaient |
| γνωριζόμενοι | étant reconnus |
| περιδεραίοις χαλκοῖς | par des colliers d'airain. |
| Οἱ δὲ στρατιῶται, | Mais les soldats, |
| συλλαβόντες αὐτούς, | ayant pris eux, |
| περιῆψαν ταῦτα, | *leur* avaient attaché ces *colliers*, |
| εἶτα ἀφῆκαν. | ensuite *les* avaient lâchés. |
| Ἐκ δὲ τούτου, | Mais depuis ce *temps*, |
| γνωρίζοντες | *les* reconnaissant |
| ἠσπάζοντο τοὺς γῦπας· | ils saluaient les vautours; |
| καὶ φανέντων | et *eux* paraissant |
| ἐπὶ ταῖς ἐξόδοις | dans les expéditions |
| ἔχαιρον | ils se réjouissaient |
| ὡς πράξοντές τι ἀγαθόν. | comme devant faire quelque chose de bon. |
| Πολλῶν δὲ σημείων | Mais beaucoup de présages |
| προφαινομένων, | ayant-paru-d'abord, |
| τὰ μὲν ἄλλα | les autres |
| εἶχε χαρακτῆρα κοινόν· | avaient un caractère commun; |
| ἀπηγγέλθη δὲ | mais il fut annoncé |
| ἐξ Ἀμερίας καὶ Τουδέρτου, | d'Amerie et de Tuderte |
| πόλεων Ἰταλικῶν, | villes Italiennes, |
| αἰχμάς τε φλογοειδεῖς | et des lames enflammées |

νυκτὸς ὦφθαι κατὰ τὸν οὐρανὸν αἰχμάς τε φλογοειδεῖς καὶ θυρεοὺς διαφερομένους τὸ πρῶτον, εἶτα συμπίπτοντας ἀλλήλοις, καὶ σχήματα καὶ κινήματα λαμβάνοντας, οἷα γινεται μαχομένων ἀνδρῶν. Τέλος δέ, τῶν μὲν ἐνδιδόντων, τῶν δ' ἐπιφερομένων, πάντας ἐπὶ δυσμὰς ῥυῆναι. Περὶ τοῦτον δέ πως τὸν χρόνον ἀφίκετο καὶ Βαταβάκης ἐκ Πεσσινοῦντος[1], ὁ τῆς Μεγάλης Μητρὸς ἱερεύς, ἀπαγγέλλων, ὡς ἡ θεὸς ἐκ τῶν ἀνακτόρων αὐτῷ ἐφθέγξατο, νίκην καὶ μέγα κράτος πολέμου Ῥωμαίοις ὑπάρξειν. Τῆς δὲ συγκλήτου προσθεμένης, καὶ τῇ θεῷ ναὸν ἐπινίκιον ἱδρύσασθαι ψηφισαμένης, τὸν Βαταβάκην εἰς τὸν δῆμον προελθόντα, καὶ ταὐτὰ βουλόμενον εἰπεῖν, ἐκώλυσε δημαρχῶν Αὖλος Πομπήϊος, ἀγύρτην ἀποκαλῶν, καὶ πρὸς ὕβριν ἀπελαύνων τοῦ βήματος· ὃ δὴ καὶ μάλιστα τῷ λόγῳ τοῦ ἀνθρώπου πίστιν παρέσχεν. Οὐ γὰρ ἔφθη, τῆς ἐκκλησίας λυθείσης, ὁ Αὖλος εἰς οἶκον ἐπανελθεῖν, καὶ

la nuit, dans le ciel, des lances de feu et des boucliers, qui, d'abord séparés, s'étaient mêlés ensuite, et avaient figuré les dispositions et les mouvements de deux armées qui combattent. A la fin, les uns ayant cédé, et les autres s'étant mis à leur poursuite, ils avaient tous pris leur direction vers le couchant. Dans le même temps on vit arriver de Pessinunte Batabacès, prêtre de la mère des dieux, qui déclara que la déesse lui avait annoncé, du fond de son sanctuaire, que la victoire et l'honneur de cette guerre demeureraient aux Romains. Le sénat, ayant ajouté foi à ce rapport, ordonna qu'on bâtit un temple à la déesse, qui leur promettait la victoire; Batabacès voulut se présenter au peuple pour lui faire la même promesse; mais le tribun Aulus Pompéius l'en empêcha, le traita d'imposteur et le chassa ignominieusement de la tribune : ce fut surtout cette violence qui fit croire à la prédiction. Au sortir de l'assemblée, le tribun,

καὶ θυρεοὺς
τὸ πρῶτον διαφερομένους,
εἶτα συμπίπτοντας ἀλλήλοις
καὶ λαμβάνοντας
σχήματα καὶ κινήματα,
οἷα γίνεται
ἀνδρῶν μαχομένων,
ὤφθαι νυκτὸς κατὰ τὸν οὐρανόν.
Τέλος δέ,
τῶν μὲν ἐνδιδόντων,
τῶν δὲ ἐπιφερομένων,
πάντας ῥυῆναι
ἐπὶ δυσμάς.
Περὶ τοῦτον δέ πως τὸν χρόνον
Βαταβάκης,
ὁ ἱερεὺς τῆς μεγάλης μητρός,
ἀφίκετο καὶ ἐκ Πεσσινοῦντος,
ἀπαγγέλλων ὡς ἡ θεὸς
ἐφθέγξατο αὐτῷ ἐκ τῶν ἀνακτόρων
νίκην
καὶ μέγα κράτος πολέμου
ὑπάρξειν τοῖς Ῥωμαίοις.
Τῆς δὲ συγκλήτου
προσθεμένης
καὶ ψηφισαμένης ἱδρύσασθαι
τῇ θεῷ
ναὸν ἐπινίκιον,
Αὖλος Πομπήϊος δημαρχῶν
ἐκώλυσε τὸν Βαταβάκην
προελθόντα εἰς τὸν δῆμον
καὶ βουλόμενον εἰπεῖν τὰ αὐτά,
ἀποκαλῶν ἀγύρτην,
καὶ ἀπελαύνων πρὸς ὕβριν
τοῦ βήματος·
ὃ δὴ
παρέσχε καὶ μάλιστα πίστιν
τῷ λόγῳ τοῦ ἀνθρώπου.
Ὁ γὰρ Αὖλος οὐκ ἔφθη
ἐπανελθεῖν εἰς οἶκον,
τῆς ἐκκλησίας λυθείσης,

et des boucliers
d'abord portés-çà-et-là,
ensuite tombant les uns sur les autres
et prenant
des figures et des mouvements,
tels que sont *ceux*
d'hommes combattants,
avoir été vus de nuit dans le ciel.
Mais enfin,
les uns cédant,
les autres poursuivant,
tous s'être précipités
vers l'occident.
Mais environ vers ce temps
Batabacès,
le prêtre de la grande mère,
vint aussi de Pessinunte,
annonçant que la déesse
avait dit à lui de son sanctuaire
la victoire
et une grande puissance de guerre
devoir être aux Romains.
Mais le sénat
s'étant adjoint *à lui*
et ayant décrété de bâtir
à la déesse
un temple triomphal,
Aulus Pompée qui était-tribun
empêcha Batabacès
qui s'avançait vers le peuple
et voulait dire les mêmes choses.
*l'*appelant charlatan,
et *le* chassant par insulte
de la tribune :
ce qui certes
ajouta même le plus de crédit
au discours de l'homme.
Car Aulus ne finissait pas
de revenir à sa maison,
l'assemblée ayant été dissoute,

πυρετὸς ἐξήνθησεν[1] αὐτῷ τοσοῦτος, ὥστε πᾶσι καταφανῆ γενόμενον καὶ περιβόητον, ἐντὸς ἑβδόμης ἡμέρας ἀποθανεῖν.

XVIII. Οἱ δὲ Τεύτονες ἐπεχείρησαν μέν, ἡσυχάζοντος τοῦ Μαρίου, πολιορκεῖν τὸ στρατόπεδον, βέλεσι δὲ πολλοῖς ἐντυγχάντες ἀπὸ τοῦ χάρακος φερομένοις, καί τινας ἐξ αὐτῶν ἀποβαλόντες, ἔγνωσαν εἰς τοὔμπροσθεν χωρεῖν, ὡς ὑπερβαλοῦντες ἀδεῶς τὰς Ἄλπεις· καὶ συσκευασάμενοι, παρήμειβον τὸ στρατόπεδον τῶν Ῥωμαίων, τότε δὴ μάλιστα παμπληθεῖς μήκει καὶ χρόνῳ τῆς παρόδου φανέντες. Ἡμέραις γὰρ ἓξ λέγονται τὸν χάρακα τοῦ Μαρίου παραμείψασθαι συνεχῶς δδεύοντες. Ἐπορεύοντο δ' ἐγγύς, πυνθανόμενοι τῶν Ῥωμαίων μετὰ γέλωτος, εἴ τι πρὸς τὰς γυναῖκας ἐπιστέλλοιεν[2]· αὐτοὶ γὰρ ἔσεσθαι ταχέως παρ' αὐταῖς. Ἐπεὶ δὲ παρήλλαξαν οἱ βάρβαροι, καὶ προῆσαν, ἄρας

à peine rentré chez lui, fut saisi d'une fièvre violente, dont il mourut le septième jour; événement qui fut su et constaté dans toute la ville.

XVIII. Les Teutons, voyant que Marius se tenait toujours tranquille dans son camp, entreprirent de le forcer; mais, accueillis d'une grêle de traits qu'on fit pleuvoir sur eux des retranchements, et qui leur tuèrent beaucoup de monde, ils résolurent de passer outre, persuadés qu'ils franchiraient les Alpes sans obstacle; ils plièrent donc bagage et se mirent en marche le long du camp des Romains. Le temps que dura leur passage fit surtout connaître combien leur nombre était prodigieux. Ils furent, dit-on, six jours entiers à défiler sans interruption devant les retranchements de Marius. Comme ils passaient près des Romains, ils leur demandaient, en se moquant d'eux, s'ils n'avaient rien à faire dire à leurs femmes; qu'ils seraient bientôt auprès d'elles. Quand ils furent tous passés, et qu'ils eurent pris quelque avance, Marius décampa aussi et se mit à leur suite : il se postait toujours

καὶ τοσοῦτος πυρετὸς
ἐξήνθησεν αὐτῷ,
ὥστε γενόμενον καταφανῆ
καὶ περιβόητον πᾶσιν,
ἀποθανεῖν
ἐντὸς ἑβδόμης ἡμέρας.

et *déjà* une si grande fièvre
éclata en lui,
que *lui* devenu évident
et répété par tous,
être mort
dans le septième jour.

XVIII. Οἱ δὲ Τεύτονες,
τοῦ Μαρίου ἡσυχάζοντος,
ἐπεχείρησαν μὲν
πολιορκεῖν τὸ στρατόπεδον,
ἐντυχόντες δὲ
πολλοῖς βέλεσι
φερομένοις ἀπὸ τοῦ χάρακος,
καὶ ἀποβαλόντες
τινὰς ἐξ αὐτῶν,
ἔγνωσαν χωρεῖν εἰς τὸ ἔμπροσθεν,
ὡς ὑπερβαλοῦντες τὰς Ἄλπεις
ἀδεῶς·
καὶ συσκευασάμενοι,
παρήμειβον
τὸ στρατόπεδον τῶν Ῥωμαίων,
τότε δὴ μάλιστα φανέντες
παμπληθεῖς
μήκει καὶ χρόνῳ
τῆς παρόδου.
Ὁδεύοντες γὰρ συνεχῶς,
λέγονται παραμείψασθαι
ἓξ ἡμέραις
τὸν χάρακα τοῦ Μαρίου.
Ἐπορεύοντο δὲ ἐγγύς,
πυνθανόμενοι τῶν Ῥωμαίων
μετὰ γέλωτος,
εἰ ἐπιστέλλοιέν τι
πρὸς τὰς γυναῖκας·
αὐτοὶ γὰρ ἔσεσθαι ταχέως
παρὰ αὐταῖς.
Ἐπεὶ δὲ οἱ βάρβαροι
παρήλλαξαν,
καὶ προῆεσαν,
ἄρας καὶ αὐτὸς

XVIII. Mais les Teutons,
Marius se-tenant-en-repos,
s'efforcèrent à la vérité
d'assiéger le camp,
mais ayant rencontré
beaucoup de traits
lancés du retranchement,
et ayant perdu
quelques-uns d'entre eux,
il résolurent de marcher en avant,
comme devant franchir les Alpes
sans-sujet-de-crainte;
et ayant plié-bagage,
ils défilèrent-devant
le camp des Romains,
alors certes, surtout ayant paru
très-nombreux
par la longueur et la durée
de leur défilé.
Car s'avançant sans interruption,
ils sont dits avoir passé
*pendant* six jours
le long du retranchement de Marius.
Mais ils marchaient tout-près,
demandant aux Romains
avec dérision,
s'il mandaient quelque chose
à leurs femmes;
car eux-mêmes devoir être bientôt
auprès d'elles.
Mais après que les barbares
eurent défilé-auprès,
et se furent avancés,
ayant-levé-le-camp aussi lui-même

καὶ αὐτὸς ἐπηκολούθει σχέδην, ἐγγὺς μὲν ἀεὶ καὶ παρ' αὐτοὺς ἐκείνους ἱδρυόμενος, ὀχυραῖς δὲ χρώμενος στρατοπεδείαις, καὶ χωρία καρτερὰ περιβαλλόμενος, ὥστ' ἐν ἀσφαλεῖ νυκτερεύειν. Οὕτω δὴ προϊόντες, ἐγένοντο πρὸς τοῖς καλουμένοις ὕδασι Σεξτίοις [1]· ὅθεν ἔδει πορευθέντας οὐ πολλὴν ὁδὸν ἐν ταῖς Ἄλπεσιν εἶναι. Διὸ δὴ καὶ Μάριος ἐνταῦθα παρεσκευάζετο μάχεσθαι, καὶ κατέλαβε τῷ στρατοπέδῳ τόπον, ὀχυρὸν μέν, ὕδωρ δ' ἄφθονον οὐκ ἔχοντα, βουλόμενος, ὡς φασι, καὶ τούτῳ παροξῦναι τοὺς στρατιώτας. Πολλῶν γέ τοι δυσχεραινόντων, καὶ διψήσειν λεγόντων, δείξας τῇ χειρὶ ποταμόν τινα ῥέοντα πλησίον τοῦ βαρβαρικοῦ χάρακος, ἐκεῖθεν αὐτοῖς ἔφησεν εἶναι τὸ ποτὸν ὤνιον αἵματος [2]. « Τί οὖν, ἔφασαν, οὐκ εὐθὺς ἡμᾶς ἄγεις ἐπ' αὐτούς, ἕως ὑγρὸν τὸ αἷμα ἔχομεν [3]; » Κἀκεῖνος ῥῆμα τῇ φωνῇ· « Πρότερον, εἶπεν, ὀχυρωτέον ἡμῖν τὸ στρατόπεδον. »

XIX. Οἱ μὲν οὖν στρατιῶται, καίπερ ἀσχάλλοντες, ἐπείθοντο·

près d'eux, choisissait pour camper des lieux forts d'assiette, qu'il munissait encore de retranchements, afin d'être la nuit en sûreté. En continuant ainsi leur marche, les deux armées arrivèrent à un lieu qu'on appelle *les Eaux de Sextius*, d'où il leur restait peu de chemin à faire pour être au pied des Alpes. Ce fut là que Marius résolut de combattre; il prit un poste avantageux, mais où l'eau n'était pas abondante, dans le dessein, dit-on, d'animer aussi par là le courage de ses troupes. Comme la plupart se plaignirent qu'ils allaient souffrir une cruelle soif, Marius leur montrant de la main une rivière qui baignait le camp des barbares : « C'est là, leur dit-il, qu'il faut aller acheter de l'eau au prix de votre sang. — Pourquoi donc ne nous y menez-vous pas tout à l'heure, pendant que le sang coule encore dans nos veines? — Il faut auparavant, reprit Marius avec douceur, fortifier notre camp. »

XIX. Les soldats, quoique mécontents, obéirent; cependant les

ἐπηκολούθει σχέδην,
ἱδρυόμενος μὲν ἀεὶ ἐγγὺς
καὶ παρὰ ἐκείνους αὐτούς,
χρώμενος δὲ
στρατοπεδείαις ὀχυραῖς,
καὶ περιβαλλόμενος
χωρία καρτερά,
ὥστε νυκτερεύειν ἐν ἀσφαλεῖ.
Οὕτω δὴ προϊόντες,
ἐγένοντο πρὸς τοῖς ὕδασι
καλουμένοις Σεξτίοις·
ὅθεν ἔδει
πορευθέντας
οὐ πολλὴν ὁδὸν
εἶναι ἐν ταῖς Ἄλπεσι.
Διὸ δὴ καὶ Μάριος
παρεσκευάζετο μάχεσθαι ἐνταῦθα,
καὶ κατέλαβε τῷ στρατοπέδῳ
τόπον ὀχυρὸν μέν,
οὐκ ἔχοντα δὲ ὕδωρ ἄφθονον,
βουλόμενος, ὡς φασι,
παροξῦναι τοὺς στρατιώτας
καὶ τούτῳ.
Πολλῶν γέ τοι δυσχεραινόντων
καὶ λεγόντων διψήσειν,
δείξας τῇ χειρὶ
τινὰ ποταμὸν ῥέοντα
πλησίον τοῦ χάρακος βαρβαρικοῦ,
ἔφησε τὸ ποτὸν εἶναι ἐκεῖθεν
ὠνιον αὐτοῖς αἵματος.
« Τί οὖν, ἔφασαν,
οὐκ ἄγεις εὐθὺς ἡμᾶς
ἐπὶ αὐτούς,
ἕως ἔχομεν τὸ αἷμα ὑγρόν; »
Καὶ ἐκεῖνος ἠρέμα τῇ φωνῇ·
« Πρότερον, εἶπε,
τὸ στρατόπεδον
ὀχυρωτέον ἡμῖν. »

il *les* suivit pas à pas,
s'établissant certes toujours près
et vis à vis d'eux-mêmes,
et se servant
de campements fortifiés,
et s'entourant
de lieux forts,
afin de passer-la-nuit en sûreté.
Ainsi donc s'avançant,
ils vinrent près des eaux
appelées Sextiennes :
d'où il fallait
*eux* ayant marché
non beaucoup de chemin
être dans les Alpes.
C'est pourquoi donc aussi Marius
se prépara à combattre là,
et il choisit pour le camp
un lieu fort à la vérité,
mais n'ayant pas de l'eau abondante,
voulant, comme on dit,
exciter les soldats
aussi par cela.
Beaucoup certes étant-mécontents
et disant devoir avoir-soif,
ayant montré de la main
un fleuve qui coulait
près du retranchement barbare,
il dit la boisson être de là
achetable pour eux *au prix* du sang.
« Pourquoi donc, dirent-ils,
ne conduis-tu pas aussitôt nous
contre eux,
tandis que nous avons le sang coulant? »
Et lui doucement de sa voix :
« D'abord, dit-il,
le camp
*est* devant être retranché par nous »

XIX. Οἱ μὲν οὖν στρατιῶται,
καίπερ ἀσχάλλοντες

XIX. Cependant les soldats,
bien que mécontents,

τῆς δὲ θεραπείας τὸ πλῆθος, οὔτ' αὐτοὶ ποτόν, οὔθ' ὑποζυγίοις ἔχοντες, ἀθρόοι κατέβαινον ἐπὶ τὸν ποταμόν, οἱ μὲν ἀξίνας, οἱ δὲ πελέκεις, ἔνιοι δὲ καὶ ξίφη καὶ λόγχας ἅμα ταῖς ὑδρίαις ἀναλαβόντες, ὡς καὶ διὰ μάχης ὑδρευσόμενοι. Τούτοις τὸ πρῶτον ὀλίγοι προσεμάχοντο τῶν πολεμίων· ἔτυχον γὰρ ἀριστῶντες οἱ πολλοὶ μετὰ λουτρόν, οἱ δ' ἐλούοντο. Ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος· καὶ μέρος τι περὶ ταῦτα τοὺς βαρβάρους εὐπαθοῦντας καὶ πανηγυρίζοντας ἡδονῇ καὶ θαύματι τοῦ τόπου κατέλαβον οἱ Ῥωμαῖοι. Πρὸς δὲ τὴν κραυγὴν πλειόνων συντρεχόντων, τῷ τε Μαρίῳ χαλεπὸν ἦν ἔτι τοὺς στρατιώτας ἐπισχεῖν, περὶ τῶν οἰκετῶν δεδιότας· καὶ τῶν πολεμίων τὸ μαχιμώτατον μέρος, ὑφ' οἷς προήττητο Ῥωμαῖοι μετὰ Μαλλίου καὶ Καιπίωνος πρότερον (Ἄμβρωνες δ' ὠνομά-

valets de l'armée, qui n'avaient d'eau ni pour eux, ni pour leurs bêtes, descendent en foule vers la rivière avec leurs cruches, armés de haches, de cognées, d'épées ou de piques, parce qu'ils s'attendaient à être obligés de combattre pour avoir de l'eau. Ils furent en effet attaqués par les barbares, qui ne vinrent d'abord qu'en petit nombre : la plupart étaient à se baigner ou à prendre leur repas après le bain. Ce lieu est rempli de sources d'eaux chaudes; et une partie des barbares, séduits par la beauté du lieu et par la douceur du bain, ne pensaient qu'à s'amuser et à faire bonne chère, lorsqu'ils furent surpris par les Romains. Les cris des combattants en ayant bientôt attiré un plus grand nombre, il eût été difficile à Marius de retenir ses soldats, qui craignaient pour leurs valets; d'ailleurs, les plus belliqueux d'entre les barbares, ceux qui avaient taillé en pièces les armées de Manlius et de Cépion (c'étaient les Ambrons, et ils faisaient seuls plus

ἐπείθοντο
τὸ δὲ πλῆθος τῆς θεραπείας,
ἔχοντες ποτὸν οὔτε αὐτοί,
οὔτε ὑποζυγίοις,
κατέβαινον ἀθρόοι
ἐπὶ τὸν ποταμόν,
οἱ μὲν ἀναλαβόντες
ἅμα ταῖς ὑδρίαις
ἀξίνας,
οἱ δὲ πελέκεις,
ἔνιοι δὲ
καὶ ξίφη καὶ λόγχας,
ὡς ὑδρευσόμενοι
καὶ διὰ μάχης.
Τὸ πρῶτον ὀλίγοι τῶν πολεμίων
προσεμάχοντο τούτοις·
οἱ γὰρ πολλοὶ ἔτυχον
ἀριστῶντες μετὰ λουτρόν,
οἱ δὲ ἐλούοντο.
Ὁ γὰρ χῶρος
ῥήγνυσιν αὐτόθι
πηγὰς ναμάτων θερμῶν,
καὶ οἱ Ῥωμαῖοι
κατέλαβόν τι μέρος
τοὺς βαρβάρους,
εὐπαθοῦντας περὶ ταῦτα,
καὶ πανηγυρίζοντας
ἡδονῇ καὶ θαύματι
τοῦ τόπου.
Πλειόνων δὲ συντρεχόντων
πρὸς τὴν κραυγήν,
ἦν τε χαλεπὸν τῷ Μαρίῳ
ἐπισχεῖν ἔτι τοὺς στρατιώτας,
δεδιότας περὶ τῶν οἰκετῶν·
καὶ τὸ μέρος μαχιμώτατον
τῶν πολεμίων,
ὑπὸ οὗ πρότερον
Ῥωμαῖοι προήττηντο
μετὰ Μαλλίου καὶ Καιπίωνος
ὠνομάζοντο δὲ Ἄμβρωνες,

obéirent :
mais la foule de la valetaille,
*n*'ayant de la boisson ni eux-mêmes,
ni pour les bêtes-de-somme,
descendirent nombreux
vers le fleuve,
les uns ayant pris
avec les vases-à-puiser-l'eau
des cognées,
les autres des haches,
et quelques-uns
même des épées et des lances,
comme devant-faire-de-l'eau
même au moyen d'un combat.
D'abord peu des ennemis
combattirent-contre eux :
car la plupart se trouvaient
dinant après le bain,
et les autres se baignaient.
Car le pays
fait-jaillir là
des sources d'eaux chaudes,
et les Romains
surprirent en partie
les barbares,
jouissant autour d'elles,
et se-livrant-à-la-joie
par le plaisir et l'admiration
du lieu.
Mais un plus grand nombre accourant
à cause des cris,
et il était difficile à Marius
de retenir encore les soldats,
qui craignaient pour les valets;
et la partie la plus belliqueuse
des ennemis,
par laquelle précédemment
les Romains avaient été vaincus
avec Mallius et Cépion
(or ils étaient appelés Ambrons,

ζοντο, καὶ πλῆθος ὑπὲρ τρισμυρίους αὐτοὶ καθ' αὑτοὺς ἦσαν), ἀναίξαντες, ἐπὶ τὰς πανοπλίας ἐχώρουν. Τὰ μὲν οὖν σώματα πλησμονῇ βεβαρημένοι, τοῖς δὲ φρονήμασι γαῦροι καὶ διακεχυμένοι πρὸς τὸν ἄκρατον, οὐκ ἀτάκτοις, οὐδὲ μανιώδεσι φερόμενοι ὀρόμοις, οὐδ' ἄναρθρον ἀλαλαγμὸν ἱέντες, ἀλλὰ κρούοντες ῥυθμῷ τὰ ὅπλα, καὶ συναλλόμενοι πάντες ἅμα, τὴν αὑτῶν ἐφθέγγοντο πολλάκις προσηγοριαν ΑΜΒΡΩΝΕΣ· εἴτε ἀναπαλούμενοι σφᾶς αὐτούς, εἴτε τοὺς πολεμίους τῇ προδηλώσει προεκφοβοῦντες. Τῶν δ' Ἰταλικῶν πρῶτοι καταβαίνοντες ἐπ' αὐτοὺς Λίγυες, ὡς ἤκουσαν βοώντων καὶ συνῆκαν, ἀντεφώνουν καὶ αὐτοὶ τὴν πάτριον ἐπίκλησιν αὐτῶν εἶναι [1]· σφᾶς γὰρ αὐτοὺς οὕτως ὀνομάζουσι κατὰ γένος Λίγυες. Πυκνὸν οὖν καὶ παράλληλον [2] ἀν-

de trente mille hommes), coururent précipitamment aux armes Ils avaient le corps appesanti par l'excès de la bonne chère, mais le vin qu'ils avaient bu, en leur donnant plus de gaieté, ne leur avait inspiré que plus d'audace; ils s'avancèrent donc, non avec le désordre et l'emportement de gens furieux, ou en jetant des cris inarticulés, mais, frappant leurs armes en mesure, ils marchaient tous ensemble en cadence, et, soit pour s'animer les uns les autres, soit pour effrayer les ennemis en se faisant connaitre, ils répétaient souvent le nom d'Ambrons. Les premiers d'entre les Italiens qui marchèrent contre eux étaient les Liguriens, qui entendirent et reconnurent leur cri; et comme ils donnent généralement à toute leur nation le nom d'Ambrons, ils répondirent aux barbares par le même cri, qui fut ainsi répété plusieurs fois dans les deux armées, avant qu'elles en vinssent

| | |
|---|---|
| καὶ αὐτοὶ ἦσαν | et ceux-ci étaient |
| κατὰ αὑτοὺς | par eux-mêmes (à eux seuls) |
| πλῆθος | une multitude |
| ὑπὲρ τρισμυρίους) | au-dessus de trente mille) |
| ἀναΐξαντες, | s'étant élancés, |
| ἐχώρουν ἐπὶ τὰς πανοπλίας. | couraient vers les armures |
| Βεβαρημένοι μὲν οὖν | Appesantis à la vérité |
| τὰ σώματα | quant à leurs corps |
| πλησμονῇ, | par la réplétion, |
| γαῦροι δὲ τοῖς φρονήμασι, | mais fiers par leurs sentiments, |
| καὶ διακεχυμένοι | et dilatés |
| πρὸς τὸν ἄκρατον, | par le *vin* pur, |
| οὐ φερόμενοι | non emportés |
| δρόμοις ἀτάκτοις | par des courses désordonnées |
| οὐδὲ μανιώδεσιν, | ni furibondes, |
| οὐδὲ ἱέντες | ni poussant |
| ἀλαλαγμὸν ἄναρθρον, | une clameur inarticulée, |
| ἀλλὰ κρούοντες τὰ ὅπλα ῥυθμῷ, | mais frappant leurs armes en cadence, |
| καὶ συναλλόμενοι πάντες ἅμα, | et bondissant tous à-la-fois, |
| ἐφθέγγοντο πολλάκις | ils faisaient-entendre souvent |
| τὴν προσηγορίαν αὑτῶν | le nom d'eux-mêmes, |
| ΑΜΒΡΩΝΕΣ | AMBRONS : |
| εἴτε ἀνακαλούμενοι σφᾶς αὐτούς, | soit excitant eux-mêmes, |
| εἴτε προεκφοβοῦντες | soit effrayant-d'avance |
| τοὺς πολεμίους | les ennemis |
| τῇ προδηλώσει. | par la déclaration *de leur nom*. |
| Λίγυες δὲ | Mais les Liguriens |
| πρῶτοι τῶν Ἰταλικῶν | les premiers des *peuples* Italiens |
| καταβαίνοντες ἐπὶ αὐτούς, | descendant contre eux, |
| ὡς ἤκουσαν βοώντων | lorsqu'ils *les* entendirent criant |
| καὶ συνῆκαν, | et *les* comprirent, |
| ἀντεφώνουν καὶ αὐτοὶ | répondirent aussi eux |
| τὴν ἐπίκλησιν | ce cri-d'appel |
| εἶναι πάτριον αὐτῶν· | être *le cri* national d'eux-mêmes |
| Λίγυες γὰρ | car les Liguriens |
| ὀνομάζουσιν οὕτω σφᾶς αὐτοὺς | appellent ainsi eux-mêmes |
| κατὰ γένος. | selon leur race. |
| Τὸ ἀναφώνημα οὖν | L'exclamation donc |
| ἀντήχει πυκνὸν | retentissait fréquente |
| καὶ παράλληλον, | et des-deux-côtés |

τήξει, πρὶν εἰς χεῖρας συνελθεῖν, τὸ ἀναφώνημα· καὶ τῶν στρατηγῶν ἑκατέροις ἀνὰ μέρος συναναφθεγγομένων, καὶ φιλοτιμουμένων πρῶτον ἀλλήλους τῷ μεγέθει τῆς βοῆς ὑπερβαλέσθαι, παρώξυνε καὶ διηρέθιζε τὸν θυμὸν ἡ χραυγή. Τοὺς μὲν οὖν Ἄμβρωνας διέσπασε τὸ ῥεῖθρον· οὐ γὰρ ἔφθασαν εἰς τάξιν καταστῆναι διαβάντες, ἀλλὰ τοῖς πρώτοις εὐθὺς μετὰ ῥόμου τῶν Λιγύων προσπεσόντων, ἐν χερσὶν ἦν ἡ μάχη. Τοῖς δὲ Λίγυσι τῶν Ῥωμαίων ἐπιβοηθούντων, καὶ φερομένων ἄνωθεν ἐπὶ τοὺς βαρβάρους, βιασθέντες ἐτράποντο, καὶ πλεῖστοι μὲν αὐτοῦ περὶ τὸ ῥεῖθρον ὠθούμενοι κατ' ἀλλήλων ἐπαίοντο, καὶ κατεπίμπλασαν φόνου καὶ νεκρῶν τὸν ποταμόν· τοὺς δὲ διαβάντας οἱ Ῥωμαῖοι μὴ τολμῶντας ἀναστρέφειν ἔκτεινον, ἄχρι τοῦ στρατοπέδου καὶ τῶν ἁμαξῶν φεύγοντας. Ἐνταῦθα δ' αἱ γυναῖ-

aux mains. Les officiers ayant des deux côtés joint leurs cris à ceux de leurs soldats, et cherchant à se surpasser les uns les autres par la force de leurs voix, ces clameurs irritèrent et enflammèrent encore les courages. Mais les Ambrons, en passant la rivière, rompirent leur ordonnance, et ils n'avaient pas eu le temps de la rétablir, lorsque les Liguriens chargèrent les premiers rangs avec vigueur, et engagèrent le combat. Les Romains, accourant aussitôt pour soutenir les Liguriens, fondirent de leurs postes élevés sur les barbares, les heurtèrent avec violence et les mirent en fuite. La plupart, en se précipitant les uns sur les autres, furent tués sur les bords de la rivière, dont le lit regorgea bientôt de sang et de morts. Les Romains taillèrent en pièces ceux qui étaient passés, et qui, n'osant pas faire tête, s'enfuirent jusqu'à leur camp et à leurs chariots. Les femmes, qui étaient

πρὶν συνελθεῖν εἰς χεῖρας·
καὶ τῶν στρατηγῶν
συναναφθεγγομένων
ἑκατέροις ἀνὰ μέρος,
καὶ φιλοτιμουμένων πρῶτον
ὑπερβαλέσθαι ἀλλήλους
τῷ μεγέθει τῆς βοῆς,
ἡ κραυγὴ παρώξυνε
καὶ διηρέθιζε
τὸν θυμόν.
Τὸ μὲν οὖν ῥεῖθρον
διέσπασε τοὺς Ἄμβρωνας·
διαβάντες γάρ,
οὐκ ἔφθασαν
καταστῆναι εἰς τάξιν,
ἀλλὰ τῶν Λιγύων εὐθὺς
προσπεσόντων τοῖς πρώτοις
μετὰ δρόμου,
ἡ μάχη ἦν ἐν χερσί.
Τῶν δὲ Ῥωμαίων
ἐπιβοηθούντων τοῖς Λίγυσι,
καὶ φερομένων ἄνωθεν
ἐπὶ τοὺς βαρβάρους,
βιασθέντες
ἐτράποντο,
καὶ πλεῖστοι μὲν
ὠθούμενοι κατὰ ἀλλήλων
ἐπαίοντο αὐτοῦ
περὶ τὸ ῥεῖθρον,
καὶ κατεπίμπλασαν
τὸν ποταμὸν
φόνου καὶ νεκρῶν·
οἱ δὲ Ῥωμαῖοι
ἔκτεινον τοὺς διαβάντας,
μὴ τολμῶντας
ἀναστρέφειν,
φεύγοντας
ἄχρι τοῦ στρατοπέδου
καὶ τῶν ἁμαξῶν.
Ἐνταῦθα δὲ αἱ γυναῖκες

avant d'en venir aux mains :
et les généraux
criant-tous-à-la-fois
chez les uns et les autres tour à tour,
et ambitionnant d'abord
de se surpasser les uns les autres
par la grandeur du cri,
la clameur excita
et aiguillonna
le courage.
Cependant la rivière
rompit les Ambrons :
car ayant passé,
ils ne finirent pas
de se ranger en ordre-de-bataille,
mais les Liguriens aussitôt
étant tombés-sur les premiers
avec course (en courant),
le combat fut aux mains.
Mais les Romains
secourant les Liguriens,
et se précipitant d'en haut
contre les barbares,
ayant été forcés
ils se retournèrent (s'enfuirent),
et d'un côté la plupart
poussés les uns sur les autres
furent frappés là
près de la rivière,
et remplirent
le fleuve
de sang et de morts :
mais les Romains
tuaient ceux qui avaient passé,
*et* qui n'osaient pas
se retourner (faire face),
fuyant
jusques au camp
et aux chariots.
Mais là les femmes

κες ἁπαντῶσαι μετὰ ξιφῶν καὶ πελέκεων, δεινὸν τετριγυῖαι καὶ περίθυμον, ἠμύνοντο τοὺς φεύγοντας, ὁμοίως καὶ τοὺς διώκοντας, τοὺς μὲν ὡς προδότας, τοὺς δ' ὡς πολεμίους· ἀναπεφυρμέναι μαχομένοις, καὶ χερσὶ γυμναῖς τούς τε θυρεοὺς τῶν Ῥωμαίων ἀποσπῶσαι, καὶ τῶν ξιφῶν ἐπιλαμβανόμεναι, καὶ τραύματα καὶ διακοπὰς σωμάτων ὑπομένουσαι μέχοι τελευτῆς ἀήττητοι τοῖς θυμοῖς. Τὴν μὲν οὖν παραποτάμιον μάχην οὕτω κατα τύχην μᾶλλον, ἢ γνώμῃ τοῦ στρατηγοῦ, γενέσθαι λέγουσιν.

XX. Ἐπεὶ δὲ πολλοὺς τῶν Ἀμβρώνων οἱ Ῥωμαῖοι διαφθείραντες ἀνεχώρουν ὀπίσω, καὶ σκότος ἐπέσχεν, οὐχ, ὥσπεο ἐπ' εὐτυχήματι τοσούτῳ, τὸν στρατὸν ἐδέξαντο παιᾶνες ἐπινίκιοι, καὶ πότοι κατὰ σκηνάς, καὶ φιλοφροσύναι περὶ δεῖπνα, καί, τὸ παντων ἥδιστον ἀνδράσιν εὐτυχῶς μεμαχημένοις, ὕπνος ἥπιος·

sorties au-devant d'eux avec des épées et des haches, grinçant des dents de rage et de douleur, frappent également et les fuyards et ceux qui les poursuivent, les premiers comme traîtres, les autres comme ennemis; elles se jettent au milieu des combattants, et de leurs mains nues s'efforcent d'arracher aux Romains leurs boucliers, saisissent leurs épées, et, couvertes de blessures, conservent jusqu'à la mort un courage invincible. Ce premier combat, donné sur le bord du fleuve, fut ainsi, dit-on, plutôt l'effet du hasard que de la volonté du généra..

XX. Les Romains, après avoir taillé en pièces la plus grande partie des Ambrons, regagnèrent leur poste, la nuit tombante; mais l'armee ne fit pas entendre, comme il était naturel après un si grand succès, des chants de joie et de victoire; loin de penser à boire dans leurs tentes, à s'égayer en prenant ensemble leur repas, les soldats ne se permirent même pas le délassement le plus agréable pour des hommes qui ont heureusement combattu, la douceur d'un sommeil paisible : il pas-

ἀπαντῶσαι — venant-à-*leur*-rencontre
μετὰ ξιφῶν καὶ πελέκεων, — avec des épées et des haches,
τετριγυῖαι δεινὸν — grinçant-des-dents terriblement
καὶ περίθυμον, — et avec fureur ,
ἠμύνοντο — combattaient
τοὺς φεύγοντας, — ceux qui fuyaient,
καὶ ὁμοίως τοὺς διώκοντας , — et également ceux qui poursuivaient
τοὺς μὲν ὡς προδότας, — les uns comme traîtres,
τοὺς δὲ ὡς πολεμίους· — les autres comme ennemis :
ἀναπεφυρμέναι μαχομένοις — mêlées aux combattants
καὶ ἀποσπῶσαι χερσὶ γυμναῖς — et arrachant de *leurs* mains nues
τοὺς θυρεοὺς τῶν Ῥωμαίων — les boucliers des Romains
καὶ ἐπιλαμβανόμεναι — et saisissant
τῶν ξιφῶν, — les épées,
καὶ ὑπομένουσαι — et supportant
μέχρι τελευτῆς — jusques à la mort
τραύματα — les blessures
καὶ διακοπὰς σωμάτων, — et les mutilations de leurs corps,
ἀήττητοι τοῖς θυμοῖς. — invincibles par leur courage.
Λέγουσι μὲν οὖν — On dit donc
τὴν μάχην παραποτάμιον — le combat auprès-du-fleuve
γενέσθαι οὕτω — avoir eu lieu ainsi
μᾶλλον κατὰ τύχην — plutôt par hasard
ἢ γνώμῃ τοῦ στρατηγοῦ — que par la volonté du général.

XX. Ἐπεὶ δὲ οἱ Ῥωμαῖοι — XX. Mais après que les Romains
διαφθείραντες — ayant détruit
πολλοὺς τῶν Ἀμβρώνων — beaucoup des Ambrons
ἀνεχώρησαν ὀπίσω, — se furent retirés en arrière,
καὶ σκότος ἐπέσχε , — et *que* la nuit survint ,
παιᾶνες ἐπινίκιοι — des chants de victoire
καὶ πότοι κατὰ σκηνάς, — et des orgies sous les tentes ,
καὶ φιλοφροσύναι περὶ δεῖπνα , — et de la joie pendant le repas,
καὶ τὸ ἥδιστον πάντων — et la chose la plus agréable de toutes
ἀνδράσι — pour des guerriers
μεμαχημένοις εὐτυχῶς , — qui ont combattu heureusement,
ἥπιος ὕπνος, — un doux sommeil,
οὐκ ἐδέξαντο τὸν στρατόν, — ne reçut point l'armée,
ὥσπερ — comme *il convenait*
ἐπὶ εὐτυχήμασι τοσούτῳ — après un succès aussi grand .
ἀλλὰ διήγαγον — mais ils passèrent

ἀλλ' ἐκείνην μάλιστα τὴν νύκτα φοβερὰν καὶ ταραχώδη διήγαγον. Ἦν μὲν γὰρ αὐτοῖς ἀχαράκωτον τὸ στρατόπεδον καὶ ἀτείχιστον· ὑπελείποντο δὲ τῶν βαρβάρων ἔτι πολλαὶ μυριάδες ἀήττητοι, καὶ συμμεμιγμένων τούτοις, ὅσοι διαπεφεύγεσαν, τῶν Ἀμβρώνων ὀδυρμὸς ἦν διὰ νυκτός, οὐ κλαυθμοῖς, οὐδὲ στεναγμοῖς ἀνθρώπων ἐοικώς, ἀλλὰ θηρομιγής τις ὠρυγὴ καὶ βρύχημα μεμιγμένον ἀπειλαῖς καὶ θρήνοις, ἀναπεμπόμενον ἐκ πλήθους τοσούτου, τά τε πέριξ ὄρη καὶ τὰ κοῖλα τοῦ ποταμοῦ περιεφώνει. Καὶ κατεῖχε φρικώδης ἦχος τὸ πεδίον, τοὺς δὲ Ῥωμαίους δέος, αὐτόν τε τὸν Μάριον ἔκπληξις, ἄκοσμόν τινα καὶ ταραχώδη νυκτομαχίαν προσδεχόμενον. Οὐ μὴν ἐπῆλθον οὔτε νυκτός, οὔτε τῆς ἐπιούσης ἡμέρας, ἀλλὰ συντάττοντες ἑαυτοὺς καὶ παρασκευαζόμενοι διετέλουν. Ἐν τούτῳ δὲ Μάριος (ἦσαν γὰρ ὑπὲρ κεφαλῆς τῶν βαρβάρων νάπαι περικλινεῖς, καὶ

sèrent toute la nuit dans le trouble et dans la frayeur. Leur camp n'avait ni clôture, ni retranchement : il restait encore plusieurs milliers de barbares qui n'avaient pas combattu ; et ceux des Ambrons qui s'étaient sauvés de la défaite s'étant joints à eux, ils poussèrent toute la nuit des cris horribles, qui ressemblaient non à des plaintes ou à des gémissements humains, mais à des hurlements, à des mugissements de bêtes féroces, mêlés de menaces et de lamentations ; les cris de cette multitude immense faisaient retentir les montagnes voisines et les concavités du fleuve. Ce bruit affreux remplissait toute la plaine ; les Romains étaient saisis de terreur, et Marius lui-même, frappé d'étonnement, s'attendait à un combat de nuit, dont il craignait le désordre. Mais ils ne sortirent de leur camp, ni cette nuit, ni le lendemain ; ils les employèrent à se préparer et à se disposer pour la bataille. Cependant Marius, sachant qu'au dessus du camp des barbares il y avait des creux assez profonds et des vallons

ἐκείνην τὴν νύκτα μάλιστα
φοβερὰν καὶ ταραχώδη.
Τὸ μὲν γὰρ στρατόπεδον
ἦν αὐτοῖς ἀχαράκωτον
καὶ ἀτείχιστον·
πολλαὶ δὲ μυριάδες
τῶν βαρβάρων
ἀπελείποντο ἔτι ἀήττητοι,
καὶ τῶν Ἀμβρώνων,
ὅσοι διαπεφεύγεσαν,
συμμεμιγμένων αὐτοῖς,
ὀδυρμὸς ἦν διὰ νυκτὸς
οὐκ ἐοικὼς κλαυθμοῖς
οὐδὲ στεναγμοῖς ἀνθρώπων,
ἀλλά τις ὠρυγὴ
θηρομιγὴς καὶ βρύχημα
μεμιγμένον ἀπειλαῖς
καὶ θρήνοις,
ἀναπεμπόμενον
ἐκ πλήθους τοσούτου,
τά τε ὄρη πέριξ
καὶ τὰ κοῖλα ποταμοῦ
περιεφώνει.
Καὶ ἦχος φρικώδης
κατεῖχε τὸ πεδίον,
δέος δὲ τοὺς Ῥωμαίους,
καὶ ἔκπληξις Μάριον αὐτόν,
προσδεχόμενον
τινὰ νυκτομαχίαν
ἄκοσμον καὶ ταραχώδη.
Οὐ μὴν ἐπῆλθον
οὔτε νυκτός,
οὔτε τῆς ἡμέρας ἐπιούσης.
ἀλλὰ διετέλουν
συντάττοντες ἑαυτοὺς
καὶ παρασκευαζόμενοι.
Ἐν δὲ τούτῳ Μάριος
(νάπαι γὰρ περικλινεῖς
καὶ αὐλῶνες
κατάσκιοι δρυμοῖς

cette nuit-là surtout
craintive et alarmée.
Car d'un côté le camp
était à eux sans-retranchement
et non-fortifié :
de l'autre de nombreuses myriades
des barbares
restaient encore invaincues,
et les Ambrons,
tous ceux qui avaient pris-la-fuite,
s'étant ralliés à ceux-ci,
un gémissement était durant la nuit
non ressemblant à des pleurs
ni à des sanglots d'hommes,
mais un certain hurlement
de-bête-féroce et un mugissement
mêlé de menaces
et de lamentations,
poussé-vers-le-ciel
par une multitude si grande,
et les montagnes d'alentour
et les rives-creuses du fleuve
retentissaient.
Et un bruit effrayant
remplissait la plaine,
et la crainte les Romains,
et l'effroi Marius lui-même,
qui s'attendait
à un combat-nocturne
sans-ordre et tumultueux.
Ils ne sortirent pas cependant
ni la nuit,
ni le jour suivant,
mais ils continuèrent
rangeant eux-mêmes
et se préparant.
Mais pendant ce *temps* Marius
(car des collines inclinées-de-tout côté
et des vallées
ombragées par des bois

κατάσκιοι δρυμοῖς αὐλῶνες ) ἐνταῦθα Κλαύδιον Μάρκελλον ἐκπέμπει μετὰ τρισχιλίων ὁπλιτῶν, ἐνεδρεύσαι κελεύσας κρυφα, καὶ μαχομένοις ἐξόπισθεν ἐπιφανῆναι. Τοὺς δ' ἄλλους, δειπνήσαντας ἐν ὥρᾳ καὶ κοιμηθέντας, ἅμ' ἡμέρᾳ συνέταττε, πρὸ τοῦ χάρακος ἀγαγών, καὶ προεξέπεμπε τοὺς ἱππέας εἰς τὸ πεδίον. Θεασάμενοι δ' οἱ Τεύτονες, οὐκ ἠνέσχοντο καταβαίνοντας αὐτοῖς ἐξ ἴσου διαγωνίζεσθαι τοὺς Ῥωμαίους, ἀλλὰ σὺν τάχει καὶ δι' ὀργῆς ὁπλισάμενοι, τῷ λόφῳ προσέβαλον. Ὁ δὲ Μάριος, ἑκαστα-χοῦ διαπέμπων τοὺς ἡγεμόνας, ἑστάναι καὶ καρτερεῖν παρεκάλει· πελασάντων δὲ εἰς ἐφικτόν, ἐξακοντίσαι τοὺς ὑσσούς, εἶτα χρῆσθαι ταῖς μαχαίρας, καὶ τοῖς θυρεοῖς ἀντερείσαντας βιάζεσθαι. Τῶν γὰρ τόπων ἐπισφαλῶν ὄντων ἐκείνοις, οὔτε τόνον

couverts de bois, y envoya Marcellus avec trois mille hommes de pied, pour s'y mettre en embuscade et venir de là charger les ennemis par derrière. Il ordonna au reste de ses troupes de prendre leur repas de bonne heure, et ensuite de se reposer ; le lendemain, dès la pointe du jour, il les range en bataille devant les retranchements, et envoie sa cavalerie dans la plaine. Dès que les Teutons l'eurent aperçue, ils n'attendirent pas que les Romains fussent descendus au pied de la colline pour combattre sur un terrain uni ; frémissant de colère, ils s'arment avec précipitation et s'élancent sur la hauteur. Alors Marius envoie ses officiers porter dans tous les rangs l'ordre de s'arrêter et d'attendre que l'ennemi soit à portée du trait ; de lancer alors les javelots, de mettre ensuite l'épée à la main, et de le pousser vigoureusement à l'aide des boucliers. Comme on était sur un terrain

ἦσαν ὑπὲρ κεφαλῆς
τῶν βαρβάρων)
ἐκπέμπει ἐνταῦθα
Κλαύδιον Μάρκελλον
μετὰ τρισχιλίων ὁπλιτῶν,
κελεύσας ἐνεδρεῦσαι
κρύφα,
καὶ ἐπιφανῆναι ἐξόπισθεν
μαχομένοις.
Συνέταττε δὲ ἅμα ἡμέρᾳ
τοὺς ἄλλους
δειπνήσαντας ἐν ὥρᾳ
καὶ κοιμηθέντας,
ἀγαγὼν
πρὸ τοῦ χάρακος,
καὶ προεξέπεμπε
τοὺς ἱππέας εἰς τὸ πεδίον
Οἱ δὲ Τεύτονες θεασάμενοι
οὐκ ἠνέσχοντο
τοὺς Ῥωμαίους
καταβαίνοντας
διαγωνίζεσθαι αὐτοῖς
ἐξ ἴσου,
ἀλλὰ ὁπλισάμενοι σὺν τάχει
καὶ διὰ ὀργῆς,
προσέβαλον τῷ λόφῳ
Ὁ δὲ Μάριος,
διαπέμπων τοὺς ἡγεμόνας
ἑκασταχοῦ,
παρεκάλει
ἑστάναι καὶ καρτερεῖν
πελασάντων δὲ
εἰς ἐφικτόν,
ἑξακοντίσαι τοὺς ὑσσούς,
εἶτα χρῆσθαι ταῖς μαχαίραις,
καὶ βιάζεσθαι τοῖς θυρεοῖς
ἀντερείσαντας.
Τῶν γὰρ τόπων
ὄντων ἐπισφαλῶν ἐκείνοις,
οὔτε τὰς πληγὰς

étaient au-dessus de la tête
des barbares)
envoie là
Claudius Marcellus
avec trois mille hoplites,
*lui* ordonnant de s'embusquer
en secret,
et de paraître par derrière
aux combattants.
Mais il rangea avec le jour
les autres
qui avaient pris-leur-repas à temps
et s'étaient reposés,
*les* ayant conduits
devant le retranchement,
et il envoya-en-avant
les cavaliers dans la plaine.
Mais les Teutons *l'*ayant vu
ne souffrirent pas
les Romains
qui descendaient *de la colline*
combattre contre eux
d'un *lieu* égal,
mais s'étant armés avec hâte
et avec colère,
ils s'élancèrent-vers la colline.
Mais Marius,
envoyant ses officiers
de tous côtés,
ordonnait
de s'arrêter et de se contenir :
mais *les barbares* s'étant avancés
jusqu'à un *lieu* à-portée,
de lancer les javelots,
ensuite de se servir des épées,
et de forcer avec les boucliers
*eux* résistant.
Car les lieux
étant glissants pour eux,
ni les coups *d'eux*

ἔξειν τὰς πληγάς, οὔτε ῥώμην τὸν συνασπισμόν [1], ἐν περιτροπῇ καὶ σάλῳ τῶν σωμάτων ὄντων διὰ τὴν ἀνωμαλίαν. Ταῦτα ἅμα παρήνει, καὶ ὁρῶν ἑωρᾶτο πρῶτος· οὐδενὸς γὰρ ἧσκητο χεῖρον τὸ σῶμα, καὶ πάντας πολὺ τῇ τόλμῃ παρήλλαττεν.

XXI. Ὡς οὖν ἀντιάσαντες αὐτοῖς οἱ Ῥωμαῖοι, καὶ συμπεσόντες ἔσχον ἄνω φερομένους [2], ἐκθλιβόμενοι κατὰ μικρὸν ὑπεχώρουν εἰς τὸ πεδίον· καὶ τῶν πρώτων ἤδη καθισταμένων εἰς τάξιν ἐν τοῖς ἐπιπέδοις, βοὴ καὶ διασπασμὸς ἦν περὶ τοὺς ὄπισθεν. Ὁ γὰρ καιρὸς οὐκ ἔλαθε τὸν Μάρκελλον, ἀλλὰ τῆς κραυγῆς ὑπὲρ τοὺς λόφους ἄνω φερομένης, ἀναστήσας τοὺς μετ' αὐτοῦ, ὁρόμῳ καὶ ἀλαλαγμῷ προσέπιπτε κατὰ νώτου, κτείνων τοὺς ἐσχάτους. Οἱ δέ, τοὺς πρὸ αὑτῶν ἐπισπώμενοι, ταχὺ πᾶν τὸ στράτευμα ταραχῆς ἐνέπλησαν· οὐ πολύν τε χρόνον ἠνέσχοντο παιό-

glissant, il avait prévu que les coups des barbares n'auraient point de force, et que leur ordonnance ne pourrait se maintenir, parce que leurs corps seraient sur ce terrain inégal, comme sur une mer orageuse, dans une agitation continuelle. Marius, aussi adroit que personne à manier les armes, et supérieur à tous en audace, était le premier à exécuter les ordres qu'il donnait.

XXI. Les barbares, arrêtés par les Romains, tandis qu'ils s'efforçaient de gravir la hauteur, pressés ensuite vivement, lâchèrent pied et regagnèrent peu à peu la plaine, où ils commençaient à se mettre en bataille sur un terrain uni, lorsqu'on entendit de grands cris partir des derniers rangs en désordre. Marcellus avait saisi le moment favorable : le bruit de la première attaque n'était pas plus tôt parvenu sur les hauteurs qu'il occupait, que, faisant lever sa troupe, il avait fondu avec impétuosité sur les derrières des barbares en poussant de grands cris, et avait massacré les derniers. Cette attaque imprévue, en obligeant les plus proches de se retourner pour soutenir les autres, eut bientôt mis le trouble dans l'armée entière; chargés des deux

ἔξειν τονον,
οὐτε τὸν συνασπισμὸν ῥώμην,
τῶν σωμάτων ὄντων
ἐν περιτροπῇ καὶ σάλῳ
διὰ τὴν ἀνωμαλίαν
Παρήνει ταῦτα
ἅμα,
καὶ ἑωρᾶτο πρῶτος
ὁρῶν·
ἤσκητο γὰρ τὸ σῶμα
χεῖρον οὐδενός,
καὶ παρήλλαττε πολὺ
πάντας τῇ τόλμῃ.

XXI. Ὡς οὖν οἱ Ῥωμαῖοι
ἀντιάσαντες αὐτοῖς
καὶ συμπεσόντες,
ἔσχον
φερομένους ἄνω,
ἐκθλιβόμενοi
ὑπεχώρουν κατὰ μικρὸν
εἰς τὸ πεδίον· καὶ τῶν πρώτων
καθισταμένων ἤδη εἰς τάξιν
ἐν τοῖς ἐπιπέδοις,
βοὴ καὶ διασπασμὸς
ἦν περὶ τοὺς ὄπισθεν.
Ὁ γὰρ καιρὸς
οὐκ ἔλαθε τὸν Μάρκελλον,
ἀλλὰ τῆς κραυγῆς
φερομένης ἄνω
ὑπὲρ τοὺς λόφους,
ἀναστήσας τοὺς μετὰ αὐτοῦ
προσέπιπτε
δρόμῳ καὶ ἀλαλαγμῷ
κατὰ νώτου,
κτείνων τοὺς ἐσχάτους.
Οἱ δὲ ἐπισπώμενοι
τοὺς πρὸ αὑτῶν,
ἐνέπλησαν ταχὺ ταραχῆς
πᾶν τὸ στράτευμα·
καὶ παιόμενοι διχόθεν

*ne* devoir avoir de portee,
ni la tortue de vigueur,
les corps étant
dans l'agitation et la fluctuation
à cause du désordre *des rangs*.
Il ordonnait ces choses
en même temps,
et il était vu le premier
*les* exécutant :
car il ne s'était exercé le corps
moins que personne,
et il surpassait de beaucoup
tous par l'audace.

XXI. Comme donc les Romains
étant venus-contre eux
et étant tombés-sur *eux*,
continrent
*eux* qui se portaient en haut,
étant écrasés
ils se retirèrent peu à peu
dans la plaine : et les premiers
se rangeant déjà en ordre
sur le terrain-uni,
un cri et du désordre
étaient parmi ceux de derrière.
Car le moment-favorable
n'échappa pas à Marcellus,
mais la clameur
étant portée en haut
sur les collines,
ayant-fait lever ceux avec lui,
il tomba
à la course et avec des cris
sur le dos *de l'ennemi*,
tuant les derniers.
Et ceux-ci faisant-retourner
ceux *qui étaient* devant eux,
remplirent bientôt de trouble
toute l'armée ;
et frappés de-deux-côtés

μενοι διχόθεν, ἀλλὰ τὴν τάξιν λύσαντες ἔφευγον. Οἱ δὲ Ῥωμαῖοι διώκοντες, αὐτῶν μὲν ὑπὲρ δέκα μυριάδας ἢ ζῶντας εἷλον, ἢ κατέβαλον· σκηνῶν δὲ καὶ ἁμαξῶν καὶ χρημάτων κρατήσαντες, ὅσα μὴ διεκλάπη, Μάριον λαβεῖν ἐψηφίσαντο. Καὶ δωρεᾶς ταύτης λαμπροτάτης τυχών, οὐδὲν ἄξιον ἔχειν, ὧν ἐστρατήγησεν, ἐνομίσθη, διὰ τὸ τοῦ κινδύνου μέγεθος. Ἕτεροι δὲ περὶ τῆς δωρεᾶς τῶν λαφύρων οὐχ ὁμολογοῦσιν, οὐδὲ περὶ τοῦ πλήθους τῶν πεσόντων. Μασσαλιώτας μέν γε λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας, τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ, καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι, καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε χαρτῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ [1], λέγοντι πιαίνε-

côtés à la fois, ils ne purent résister longtemps, furent mis en déroute, et prirent la fuite. Les Romains, s'étant lancés à leur poursuite, en tuèrent ou en firent prisonniers plus de cent mille, et devenus maitres de leurs tentes, de leurs chariots et de tout leur bagage, ils résolurent de tout donner à Marius, excepté ce qui aurait été pillés Quelque magnifique que fût ce présent, il parut encore bien au-dessous du service que Marius venait de rendre à sa patrie, en la délivrant d'un si grand danger. Quelques historiens ne conviennent pas du don de ces dépouilles, ni du nombre des morts. Ils disent seulement que les Marseillais firent enclore leurs vignes avec les ossements de ceux qui avaient été tués; que les corps consumés dans les champs, par les pluies qui tombèrent pendant l'hiver, engraissèrent tellement la terre et la pénétrèrent à une si grande profondeur, que l'été suivant elle rapporta une quantité prodigieuse de fruits; ce qui vérifie ce mot d'Archiloque, qu'il n'y a pas pour la terre de meilleur engrais.

οὐκ ἠνέσχοντο πολὺν χρόνον,
ἀλλὰ λύσαντες τὴν τάξιν
ἔφευγον.
Οἱ δὲ Ῥωμαῖοι
διώκοντες,
ἢ εἷλον μὲν ζῶντας,
ἢ κατέβαλον
ὑπὲρ δέκα μυριάδας αὐτῶν·
κρατήσαντες δὲ
σκηνῶν καὶ ἁμαξῶν
καὶ χρημάτων,
ἐψηφίσαντο Μάριον λαβεῖν
ὅσα μὴ διεκλάπη.
Καὶ τυχὼν
ταύτης δωρεᾶς λαμπροτάτης,
ἐνομίσθη ἔχειν οὐδὲν ἄξιον
ὧν ἐστρατήγησε,
διὰ τὸ μέγεθος τοῦ κινδύνου.
Ἕτεροι δὲ οὐχ ὁμολογοῦσι
περὶ τῆς δωρεᾶς
τῶν λαφύρων,
οὐδὲ περὶ τοῦ πλήθους
τῶν πεσόντων.
Λέγουσι μέν γε
Μασσαλιώτας
περιθριγκῶσαι τοὺς ἀμπελῶνας
τοῖς ὀστέοις,
τὴν δὲ γῆν,
τῶν νεκρῶν
καταναλωθέντων ἐν αὐτῇ,
καὶ ὄμβρων ἐπιπεσόντων
διὰ χειμῶνος,
ἐκλιπανθῆναι οὕτω,
καὶ γενέσθαι διὰ βάθους
περίπλεω
τῆς σηπεδόνος ἐνδύσης,
ὥστε ἐξενεγκεῖν εἰς ὥρας
πλῆθος ὑπερβάλλον καρπῶν,
καὶ μαρτυρῆσαι
τῷ Ἀρχιλόχῳ

ils ne résistèrent pas un long temps,
mais ayant rompu leur ordonnance
ils s'enfuirent.
Mais les Romains
*les* poursuivant,
ou prirent vivants,
ou tuèrent
au-delà de dix myriades d'eux ;
et s'étant emparés
des tentes et des chars
et des richesses,
ils votèrent Marius prendre
tout ce qui n'aurait pas été pillé.
Et ayant obtenu
ce don très-éclatant,
Il fut pensé *n*'avoir rien de digne
de ce qu'il avait fait-comme-général,
à cause de la grandeur du danger.
Mais d'autres ne sont-pas-d'accord
sur le don
des dépouilles,
ni sur la multitude
de ceux qui tombèrent (des morts).
On dit à la vérité du moins
les Marseillais
avoir enclos les vignes
avec les ossements,
et la terre,
les cadavres
s'étant putréfiés dans elle,
et des pluies étant tombées
pendant l'hiver,
avoir été engraissée tellement,
et être devenue dans sa profondeur
plus-que-pleine
de l'engrais pénétrant,
au point d'avoir porté dans la saison
une quantité excessive de fruits,
et avoir servi-de-témoin
à Archiloque

σθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας. Ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τὴν γῆν καθαροῖς καὶ διϊπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἢ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾴδιον μεταβάλλειν ἀπὸ σμικροτάτης ἐπὶ πλεῖστον ἀρχῆς.

XXII. Μετὰ δὲ τὴν μάχην ὁ Μάριος, τῶν βαρβαρικῶν ὅπλων καὶ λαφύρων τὰ μὲν ἐκπρεπῆ καὶ ὁλόκληρα καὶ πομπικὴν ὄψιν τῷ θριάμβῳ δυνάμενα παρασχεῖν, ἐπέλεξε· τῶν δ' ἄλλων ἐπὶ πυρᾶς μεγάλης κατασωρεύσας τὸ πλῆθος, ἔθυσε θυσίαν μεγαλοπρεπῆ. Καί, τοῦ στρατοῦ παρεστῶτος ἐν ὅπλοις ἐστεφανωμένου, περιζωσάμενος αὐτός I, ὥσπερ ἔθος ἐστίν, ἀναλαβὼν τὴν περιπόρφυρον, καὶ λαβὼν δᾷδα καιομένην, καὶ δι' ἀμφοτέρων

On dit aussi, avec beaucoup de vraisemblance, que les grandes batailles sont presque toujours suivies de pluies abondantes : soit qu'un dieu bienfaisant, pour laver et purifier la terre, l'inonde de ces eaux pures qu'il lui envoie du ciel, ou que l'air qui s'altère facilement et éprouve de grands changements pour la plus légère cause, se condense par les vapeurs humides et pesantes qui s'exhalent du sein de cette corruption.

XXII. Après la bataille, Marius, ayant choisi parmi les armes et les dépouilles des barbares les plus belles, les mieux conservées, les plus propres à relever la pompe de son triomphe, fit entasser tout le reste sur un grand bûcher et en fit aux dieux un sacrifice magnifique. Toute son armée environnait le bûcher, couronnée de laurier : lui-même, vêtu de pourpre et ceint à la romaine, prit un flambeau

λέγοντι τὰς ἀρούρας
πιαίνεσθαι πρὸς τοῦ τοιούτου.
Λέγουσι δὲ ἐπιεικῶς
ὑετοὺς ἐξαισίους
ἐπικαταῤῥήγνυσθαι
ταῖς μεγάλαις μάχαις,
εἴτε τινὸς δαιμονίου
ἁγνίζοντος καὶ κατακλύζοντος
τὴν γῆν
ὕδασι καθαροῖς
καὶ διϊπετέσιν,
εἴτε τοῦ φόνου
καὶ τῆς σηπεδόνος
ἐξανιείσης ἀναθυμιασιν
ὑγρὰν καὶ βαρεῖαν,
ἣ συνίστησι τὸν ἀέρα,
ὄντα εὔτρεπτον
καὶ ῥᾴδιον μεταβάλλειν
ἐπὶ πλεῖστον
ἀπὸ ἀρχῆς σμικροτάτης.

qui dit les champs
s'engraisser par le même *moyen*.
Mais on dit avec vraisemblance
des pluies extraordinaires
tomber-après
les grands combats,
soit quelque divinité
purifiant et lavant
la terre
par des eaux pures
et qui tombent-du-ciel,
soit le carnage
et la putréfaction
dégageant une exhalaison
humide et lourde,
laquelle condense l'air,
qui est altérable
et facile à changer
pour le plus *souvent*
par le principe le plus petit.

XXII. Μετὰ δὲ τὴν μάχην,
ὁ Μάριος ἐπέλεξε μὲν
τὰ τῶν ὅπλων
καὶ τῶν λαφύρων βαρβαρικῶν
ἐκπρεπῆ καὶ ὁλόκληρα,
καὶ δυνάμενα
παρασχεῖν ὄψιν πομπικὴν
τῷ θριάμβῳ·
κατασωρεύσας δὲ
τὸ πλῆθος τῶν ἄλλων
ἐπὶ μεγάλης πυρᾶς,
ἔθυσε θυσίαν μεγαλοπρεπῆ.
Καὶ τοῦ στρατοῦ
περιεστῶτος ἐν ὅπλοις
ἐστεφανωμένου,
καὶ τὸς περιζωσάμενος,
ὥσπερ ἔθος ἐστίν,
ἀναλαβὼν τὴν περιπόρφυρον,
καὶ λαβὼν δᾷδα καιομένην,
καὶ ἀνασχὼν

XXII. Mais après le combat,
Marius choisit d'un côté
celles des armes
et des dépouilles des-barbares
*qui étaient* brillantes et intactes,
et qui pouvaient
ajouter un aspect pompeux
au triomphe :
de l'autre côté ayant entassé
la multitude des autres
sur un grand bûcher,
il fit un sacrifice magnifique.
Et l'armée
se tenant-autour en armes
portant-des-couronnes,
lui ceint-autour-du-corps,
comme la coutume est,
ayant revêtu la *robe* bordée-de-pour-
et ayant pris une torche allumée,
et l'ayant levée

τῶν χειρῶν ἀνασχὼν πρὸς τὸν οὐρανόν, ἔμελλεν ὑφήσειν τ
πυρᾷ· καὶ προσελαύνοντες ἵπποις ἐωρῶντο φίλοι σὺν τάχ
πρὸς αὐτόν, ὥστε πολλὴν γενέσθαι σιωπὴν καὶ προσδοκίο
ἁπάντων. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἀποπηδήσαντες ἐδεξιοῦντο τὸ
Μάριον, εὐαγγελιζόμενοι τὸ πέμπτον αὐτὸν ὕπατον ἠρῆσθαι
καὶ γράμματα περὶ τούτων ἀπέδοσαν. Μεγάλης οὖν χαρᾶς το
ἐπινικίοις προσγενομένης, ὅ τε στρατὸς ὑφ' ἡδονῆς ἐνοπλίῳ τι
κρότῳ καὶ πατάγῳ συνηλάλαξαν, καὶ τῶν ἡγεμόνων τὸν Μάριο
αὖθις ἀναδούντων δάφνης στεφάνοις, ἀνῆψε τὴν πυράν, καὶ τὴ
θυσίαν ἐπετελείωσεν.

XXIII. Ἡ δὲ μηθὲν ἐῶσα τῶν μεγάλων εὐτυχημάτων ἄκρα
τον εἰς ἡδονὴν καὶ καθαρόν, ἀλλὰ μίξει κακῶν καὶ ἀγαθῶν ποι
κίλλουσα τὸν ἀνθρώπινον βίον, ἢ τύχη τις, ἢ νέμεσις[2], ἢ πρα
γμάτων ἀναγκαία φύσις, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐπήγαγ

allumé, et, l'élevant de ses deux mains vers le ciel, il allait mettr
ie feu au bûcher, lorsqu'on vit venir à toutes brides quelques-uns d
ses amis, dont l'arrivée fit faire un grand silence, dans l'attente de
nouvelles qu'ils apportaient. Dès qu'ils furent près de Marius, il
sautèrent à terre, et, courant l'embrasser, ils lui annoncèrent qu'i
etait consul pour la cinquième fois, et lui remirent les lettres qui lu
annonçaient sa nomination. La joie que causa cette nouvelle mit le
comble à celle qu'on ressentait déjà d'une si grande victoire; toute
l'armée témoigna le plaisir qu'elle en avait par des cris de triomphe,
mêlés au bruit des armes; et les officiers ayant de nouveau couronné
Marius de laurier, il mit le feu au bûcher et acheva le sacrifice.

XXIII. Mais la puissance qui ne souffre jamais que la joie des plus
grands succès soit pure et sans mélange, qui jette tant de variété
dans la vie humaine par le mélange des biens et des maux, fortune,
vengeance divine, ou enfin nécessité naturelle des choses humaines,
fit arriver peu de jours après à Marius de tristes nouvelles de Catulus

διὰ τῶν ἀμφοτέρων χειρῶν
πρὸς τὸν οὐρανόν,
ἔμελλεν ὑφήσειν τῇ πυρᾷ·
καὶ φίλοι ἑωρῶντο
προσελαύνοντες ἵπποις
σὺν τάχει πρὸς αὐτόν,
ὥστε πολλὴν σιωπὴν
καὶ προσδοκίαν ἁπάντων
γενέσθαι.
Ἐπεὶ δὲ ἦσαν ἐγγύς,
ἀποπηδήσαντες
ἐδεξιοῦντο τὸν Μάριον,
εὐαγγελιζόμενοι
αὐτὸν ἡρῆσθαι ὕπατον
τὸ πέμπτον,
καὶ ἀπέδοσαν γράμματα
περὶ τούτων.
Μεγάλης οὖν χαρᾶς
προσγενομένης τοῖς ἐπινικίοις,
ὅ τε στρατὸς
ὑπὸ ἡδονῆς
συνηλάλαξε τινὶ κρότῳ
καὶ πατάγῳ ἐνοπλίῳ·
καὶ τῶν ἡγεμόνων
ἀναδούντων αὖθις τὸν Μάριον
στεφάνοις δάφνης,
ἀνῆψε τὴν πυρὰν
καὶ ἐπετελείωσε τὴν θυσίαν.

de ses deux mains
vers le ciel,
allait *la* mettre-sous le bûcher :
et des amis furent vus
s'avançant sur des chevaux
avec rapidité vers lui,
de sorte qu'un grand silence
et une attente de tous
avoir été.
Mais lorsqu'ils furent près,
s'étant-élancés-à-terre
ils touchèrent-la-main de Marius,
annonçant-heureusement
lui avoir été élu consul
*pour* la cinquième *fois*,
et ils *lui* remirent les lettres
sur cela.
Donc une grande allégresse
étant ajoutée aux chants de victoire,
et l'armée
de joie
poussa-un-cri-avec un bruit
et un applaudissement d'armes;
et les officiers
couronnant de nouveau Marius
de couronnes de laurier,
il alluma le bûcher
et acheva le sacrifice.

XXIII. Ἡ δὲ ἐῶσα μηθὲν
τῶν μεγάλων εὐτυχημάτων
ἄκρατον εἰς ἡδονὴν
καὶ καθαρόν,
ἀλλὰ ποικίλλουσα
τὸν βίον ἀνθρώπινον
μίξει κακῶν καὶ ἀγαθῶν,
ἡ τύχη τις
ἢ νέμεσις,
ἢ φύσις ἀναγκαία πραγμάτων,
ἐπήγαγε τῷ Μαρίῳ
οὐ πολλαῖς ἡμέραις ὕστερον

XXIII. Mais celle qui *ne* laisse aucun
des grands succès
sans-mélange pour le plaisir
et pur,
mais varie
la vie humaine
par un mélange de maux et de biens,
ou une certaine fortune
ou vengeance,
ou nature nécessaire des choses,
apporta à Marius
non beaucoup de jours après

τῷ Μαρίῳ τὴν περὶ Κάτλου τοῦ συνάρχοντος ἀγγελίαν, ὥσπερ ἐν εὐδίᾳ καὶ γαλήνῃ νέφος αὖθις ἕτερον, φόβον καὶ χειμῶνα τῇ Ῥώμῃ περιστήσασα. Ὁ γὰρ δὴ Κάτλος ἀντικαθήμενος τοῖς Κίμβροις [1], τὰς μὲν ὑπερβολὰς τῶν Ἄλπεων ἀπέγνω φυλάσσειν, μὴ, κατὰ πολλὰ τὴν δύναμιν μέρη διαιρεῖν ἀναγκαζόμενος, ἀσθενὴς γένοιτο· καταβὰς δ' εὐθὺς εἰς Ἰταλίαν, καὶ τὸν Ἄτισῶνα ποταμὸν [2] λαβὼν πρὸ αὑτοῦ, καὶ φραξάμενος πρὸς τὰς διαβάσεις ἑκατέρωθεν ἰσχυροῖς χαρακώμασιν, ἔζευξε τὸν πόρον, ὡς ἐπιβοηθεῖν εἴη τοῖς πέραν, εἰ πρὸς τὰ φρούρια βιάζοιντο διὰ τῶν στενῶν οἱ βάρβαροι. Τοῖς δὲ τοσοῦτον περιῆν ὑπεροψίας καὶ θράσους κατὰ τῶν πολεμίων, ὥστε, ῥώμην καὶ τόλμαν ἐπιδεικνύμενοι μᾶλλον, ἢ πράττοντές τι τῶν ἀναγκαίων, γυμνοὶ μὲν ἠνείχοντο νιφόμενοι, καὶ διὰ πάγων καὶ

son collègue, dont le malheur fut pour la ville de Rome un nouveau sujet de terreur, et comme un nuage funeste, une tempête menaçante, au milieu d'un temps calme et serein. Catulus, qu'on avait envoyé pour défendre contre les Cimbres le passage des Alpes, désespérant de garder ces défilés, et craignant, s'il était obligé de diviser son armée en plusieurs corps, qu'elle ne fût trop affaiblie, redescendit en Italie, et, mettant devant lui la rivière d'Atison, il éleva des deux côtés de bons retranchements, afin d'en empêcher le passage, et bâtit un pont qui lui donnât la facilité de couvrir les places qui étaient au-delà du fleuve, si les Cimbres, après avoir franchi les défilés, allaient les attaquer. Mais ils méprisaient tellement leurs ennemis et les insultaient si ouvertement, que, sans aucune nécessité, et seulement pour faire parade de leur audace et de leur force, ils s'exposaient tout nus à la neige, grimpaient sur les

καὶ τὴν ἀγγελίαν
περὶ Κάτλου τοῦ συνάρχοντος,
περιστήσασα αὖθις τῇ Ῥώμῃ
φόβον καὶ χειμῶνα,
ὥςπερ ἕτερον νέφος
ἐν εὐδίᾳ
καὶ γαλήνῃ.
Ὁ γὰρ δὴ Κάτλος
ἀντικαθήμενος τοῖς Κίμβροις,
ἀπέγνω μὲν φυλάσσειν
τὰς ὑπερβολὰς τῶν Ἄλπεων,
μή, ἀναγκαζόμενος
διαιρεῖν τὴν δύναμιν
κατὰ πολλὰ μέρη,
γένοιτο ἀσθενής·
καταβὰς δὲ εὐθὺς
εἰς Ἰταλίαν,
καὶ λαβὼν πρὸ αὐτοῦ
τὸν ποταμὸν Ἀτισῶνα,
καὶ φραξάμενος
πρὸς τὰς διαβάσεις
χαρακώμασιν ἰσχυροῖς
ἑκατέρωθεν,
ἔζευξε τὸν πόρον,
ὡς εἴη ἐπιβοηθεῖν
τοῖς πέραν,
εἰ οἱ βάρβαροι
βιάζοιντο πρὸς τὰ φρούρια
διὰ τῶν στενῶν.
Τοσοῦτον δὲ ὑπεροψίας
καὶ θράσους
περιῆν τοῖς
κατὰ τῶν πολεμίων,
ὥστε ἐπιδεικνύμενοι μᾶλλον
ῥώμην καὶ τόλμαν,
ἢ πράττοντές τι
τῶν ἀναγκαίων,
γυμνοὶ μὲν ἠνείχοντο
νιφόμενοι,
καὶ προσέβαινον τοῖς ἄκροις

aussi la nouvelle
sur Catulus son collègue,
ayant enveloppé de nouveau Rome
de crainte et de tempête,
comme un autre nuage
au milieu du calme
et de la tranquillité.
Car certes Catulus
opposé aux Cimbres,
renonça à garder
les défilés des Alpes,
de peur que, étant forcé
de diviser ses forces
en beaucoup de parties,
il ne devînt faible;
mais étant descendu aussitôt
en Italie,
et ayant pris devant lui
le fleuve Atison,
et s'étant assuré
contre les tentatives-de-passage
par des retranchements forts
de chaque-côté,
il joignit le passage,
afin qu'il fût *à même* de secourir
ceux *qui étaient* au-delà,
si les barbares
s'efforçaient contre les places
à travers les défilés.
Mais tant de dédain
et d'orgueil
était à eux
contre leurs ennemis,
que montrant plutôt
*leur* force et *leur* audace,
que faisant quelqu'une
des choses nécessaires,
et nus ils supportaient
étant couverts-de-neige,
et montaient aux sommets

χιόνος βαθείας τοῖς ἄκροις προσέβαινον, ἄνωθεν δέ, τοὺς θυρεοὺς πλατεῖς ὑποτιθέντες τοῖς σώμασιν, εἶτ' ἀφιέντες αὑτούς, ὑπεφέροντο κατὰ χρημνῶν, ὀλισθήματα καὶ λισσάδας ἀχανεῖς ἐχόντων. Ὡς δὲ παραστρατοπεδεύσαντες ἐγγύς, καὶ κατασκεψάμενοι τὸν πόρον, ἤρξαντο χοῦν, καὶ τοὺς πέριξ λόφους ἀναῤῥηγνύντες, ὥσπερ οἱ γίγαντες, ἅμα δένδρα πρόῤῥιζα, καὶ χρημνῶν σπαράγματα, καὶ γῆς κολωνοὺς ἐφόρουν εἰς τὸν ποταμόν[1], ἐκθλίβοντες τὸ ῥεῦμα, καὶ τοῖς ἐρείδουσι τὰ ζεύγματα βάθροις ἀφιέντες βάρη μεγάλα, συρόμενα κατὰ ῥοῦν καὶ τινάσσοντα ταῖς πληγαῖς τὴν γέφυραν, ἀποδειλιάσαντες οἱ πλεῖστοι τῶν στρατιωτῶν ἐξέλιπον τὸ μέγα στρατόπεδον καὶ ἀνεχώρουν. Ἔνθα δὴ Κάτλος ἔδειξεν ἑαυτόν, ὥσπερ χρὴ τὸν ἀγαθὸν καὶ τέλειον ἄρχοντα, τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῆς τῶν πολιτῶν τιθέμενον. Ἐπεὶ γὰρ

montagnes, à travers des monceaux de neige et de glace; et, parvenus au sommet, ils s'asseyaient sur leurs boucliers, puis, glissant le long des rochers, ils s'abandonnaient à la rapidité de la pente sur le bord de précipices d'une profondeur effrayante. Quand enfin ils eurent transporté leur camp près de celui des Romains et qu'ils eurent examiné comment ils pourraient passer la rivière, ils résolurent de la combler : coupant donc, comme autrefois les géants, les tertres des environs, déracinant les arbres, détachant d'énormes rochers et de grandes masses de terre, ils les roulaient dans le fleuve, pour en resserrer le cours; ils jetaient en même temps au-dessus du pont que les Romains avaient construit des masses d'un grand poids qui, entraînées par le courant, venaient battre le pont et en ébranlaient les fondements; la plupart des soldats romains, effrayés d'une pareille entreprise, abandonnèrent le grand camp et se retirèrent. Catulus se conduisit alors en habile et parfait général, qui préfère à sa propre gloire celle de ses concitoyens. Quand il vit qu'il ne pouvait per-

διὰ πάγων
καὶ χιόνος βαθείας,
ὑποτιθέντες δὲ τοῖς σώμασι
τοὺς θυρεοὺς πλατεῖς,
εἶτα ἀφέντες αὑτούς,
ὑπεφέροντο ἄνωθεν,
κατὰ κρημνῶν
ἐχόντων ὀλισθήματα
καὶ λισσάδας ἀχανεῖς.
Ὡς δὲ
παραστρατοπεδεύσαντες ἐγγὺς
καὶ κατασκεψάμενοι τὸν πόρον,
ἤρξαντο χοῦν,
καὶ ἀναῤῥηγνύντες
τοὺς λόφους πέριξ,
ὥςπερ οἱ γίγαντες,
ἐφόρουν ἅμα
εἰς τὸν ποταμὸν
δένδρα πρόῤῥιζα,
καὶ σπαράγματα κρημνῶν,
καὶ κολωνοὺς γῆς,
ἐκθλίβοντες τὸ ῥεῦμα,
καὶ ἐφιέντες τοῖς βάθροις
ἐρείδουσι τὰ ζεύγματα
βάρη μεγάλα,
συρόμενα κατὰ ῥοῦν
καὶ τινάσσοντα τὴν γέφυραν
ταῖς πληγαῖς,
οἱ πλεῖστοι τῶν στρατιωτῶν
ἀποδειλιάσαντες,
ἐξέλιπον τὸ μέγα στρατόπεδον
καὶ ἀνεχώρουν.
Ἔνθα δὴ Κάτλος
ἔδειξεν ἑαυτόν,
ὥςπερ χρὴ τὸν ἄρχοντα
ἀγαθὸν καὶ τέλειον,
τιθέμενον τὴν δόξαν αὐτοῦ
ἐν ὑστέρῳ
τῆς τῶν πολιτῶν.
Ἐπεὶ γὰρ οὐκ ἔπειθε

à travers les glaçons
et une neige épaisse,
et plaçant-sous leurs corps
leurs boucliers larges,
ensuite ayant lancé eux-mêmes,
ils glissaient d'en haut
le long de rochers
ayant des précipices
et des pentes immenses.
Mais lorsque
ayant campé auprès *de Catulus*
et ayant examiné le passage,
ils commencèrent à *le* combler,
et arrachant
les tertres d'alentour,
comme les géants,
ils apportaient à la fois
dans le fleuve
des arbres déracinés,
et des fragments de rochers,
et des monceaux de terre,
resserrant le courant,
et lançant sur les poutres
qui soutenaient les jonctions (le pont)
des poids énormes,
qui étaient entraînés par le courant
et ébranlaient le pont
par leurs chocs,
la plupart des soldats
épouvantés,
quittèrent le grand camp
et se retirèrent.
Là certes Catulus
montra lui-même,
comme il faut le général
bon et accompli,
plaçant la gloire de lui
dans un *degré* postérieur
à celle des citoyens.
Car comme il n'avait pu persuader

οὐκ ἔπειθε τοὺς στρατιώτας μένειν, ἀλλ' ἑώρα περιδεῶς ἀναζευγνύντας, ἄρασθαι κελεύσας τὸν ἀετόν, εἰς τοὺς πρώτους τῶν ἀπερχομένων ὥρμησε δρόμῳ, καὶ πρῶτος ἡγεῖτο, βουλόμενος αὐτοῦ τὸ αἰσχρόν, ἀλλὰ μὴ τῆς πατρίδος γενέσθαι, καὶ δοκεῖν μὴ φεύγοντας, ἀλλ' ἑπομένους τῷ στρατηγῷ, ποιεῖσθαι τὴν ἀποχώρησιν. Οἱ δὲ βάρβαροι τὸ μὲν πέραν τοῦ Ἀτισῶνος φρούριον ἐπελθόντες ἔλαβον, καὶ τοὺς αὐτόθι Ῥωμαίους, ἀνδρῶν κρατίστους γενομένους, καὶ προκινδυνεύσαντας ἀξίως τῆς πατρίδος θαυμάσαντες, ὑποσπόνδους ἀφῆκαν, ὀμόσαντες τὸν χαλκοῦν ταῦρον [1], ὃν ὕστερον ἁλόντα μετὰ τὴν μάχην, εἰς τὴν Κάτλου φασὶν οἰκίαν, ὥσπερ ἀκροθίνιον τῆς νίκης, κομισθῆναι. Τὴν δὲ χώραν ἔρημον βοηθείας ἐπιχυθέντες ἐπόρθουν.

XXIV. Ἐπὶ τούτοις ἐκαλεῖτο Μάριος εἰς τὴν πόλιν· καὶ παραγενόμενος, πάντων αὐτὸν οἰομένων θριαμβεύσειν, καὶ τῆς

suader à ses soldats de rester, et que, cédant à leur frayeur, ils pliaient bagage, il ordonna qu'on levât l'aigle, et, courant aux premiers rangs qui étaient déjà en marche, il se mit à leur tête, aimant mieux que la honte de cette retraite tombât sur lui seul plutôt que sur sa patrie, et que les soldats eussent l'air, non de prendre la fuite, mais de suivre leur général. Les barbares s'emparèrent du fort qui était sur la rive opposée de l'Atison ; quant aux soldats romains, qui l'avaient défendu avec la plus grande valeur et s'étaient exposés dignement pour la patrie, ils les laissèrent aller à des conditions honorables, dont ils convinrent en jurant sur leur taureau d'airain ; on dit que ce taureau fut pris après la bataille et porté dans la maison de Catulus, comme les prémices de sa victoire. Les barbares, trouvant le pays sans défense, se mirent à le ravager.

XXIV. Ces événements firent appeler Marius à Rome : en l'y voyant arriver, on crut qu'il allait recevoir les honneurs du triomphe, et le

τοὺς στρατιώτας — aux soldats
μένειν, — de demeurer,
ἀλλὰ ἑώρα — mais *les* voyait
ἀναζευγνύντας περιδεῶς, — se débandant avec-effroi,
κελεύσας τὸν ἀετὸν ἄρασθαι, — ayant ordonné l'aigle être levée,
ὥρμησε δρόμῳ — il s'élança avec course
εἰς τοὺς πρώτους — vers les premiers
τῶν ἀπερχομένων, — de ceux qui s'en allaient,
καὶ πρῶτος ἡγεῖτο, — et le premier il *les* conduisait,
βουλόμενος τὸ αἰσχρὸν — voulant la honte
γενέσθαι αὐτοῦ, — être de lui,
ἀλλὰ μὴ τῆς πατρίδος, — mais non de la patrie,
καὶ δοκεῖν — et *les soldats* paraître
ποιεῖσθαι τὴν ἀποχώρησιν — faire la retraite
μὴ φεύγοντας, — ne fuyant pas,
ἀλλὰ ἑπομένους τῷ στρατηγῷ. — mais suivant le général.
Οἱ δὲ βάρβαροι ἐπελθόντες — Mais les barbares s'étant avancés
ἔλαβον μὲν τὸ φρούριον — prirent le fort
πέραν τοῦ Ἀτισῶνος, — au-delà de l'Atison,
καὶ θαυμάσαντες — et ayant admiré
τοὺς Ῥωμαίους αὐτόθι, — les Romains *qui étaient* là,
γενομένους κρατίστους ἀνδρῶν, — ayant été les plus braves des hommes,
καὶ προκινδυνεύσαντας — et s'étant-exposés-au-péril
ἀξίως — dignement
τῆς πατρίδος, — pour la patrie,
ἀφῆκαν ὑποσπόνδους, — ils renvoyèrent *eux* à-composition,
ὀμόσαντες τὸν ταῦρον χαλκοῦν, — ayant juré *par* le taureau d'airain,
ὃν φασιν, ἁλόντα ὕστερον — lequel on dit, pris ensuite
μετὰ τὴν μάχην, — après le combat,
κομισθῆναι — avoir été porté
εἰς τὴν οἰκίαν Κάτλου, — dans la maison de Catulus,
ὥσπερ ἀκροθίνιον τῆς νίκης. — comme prémices de la victoire.
Ἐπιχυθέντες δὲ — Et s'étant répandus
ἐπόρθουν τὴν χώραν — ils ravageaient le pays
ἔρημον βοηθείας. — privé de secours.

XXIV. Ἐπὶ τούτοις — XXIV. Sur ces *entrefaites*
Μάριος ἐκαλεῖτο εἰς τὴν πόλιν· — Marius fut appelé à la ville :
καὶ παραγενόμενος, — et s'*y* étant rendu,
πάντων οἰομένων — tous pensant
αὐτὸν θριαμβεύσειν, — lui devoir triompher,

βουλῆς προθύμως ψηφισαμένης, οὐκ ἠξίωσεν, εἴτε τοὺς στρατιώτας καὶ συναγωνιστὰς ἀποστερῆσαι τῆς φιλοτιμίας μὴ βουλόμενος, εἴτε πρὸς τὰ παρόντα θαῤῥύνων τὸ πλῆθος, ὡς τῇ τύχῃ τῆς πόλεως παραχατατιθέμενος τὴν τῶν πρώτων κατορθωμάτων δόξαν, ἐν τοῖς δευτέροις λαμπροτέραν ἀποδοθησομένην. Διαλεχθεὶς δὲ τὰ πρέποντα τῷ καιρῷ, καὶ πρὸς τὸν Κάτλον [1] ἐξορμήσας, τοῦτόν τε παρεθάῤῥυνε, καὶ τοὺς αὐτοῦ μετεπέμπετο στρατιώτας ἐκ Γαλατίας. Ὡς δ' ἀφίκοντο, διαβὰς τὸν Ἠριδανόν, εἴργειν ἐπειρᾶτο τῆς ἐντὸς Ἰταλίας τοὺς βαρβάρους. Οἱ δέ, τοὺς Τεύτονας ἐκδέχεσθαι, καὶ θαυμάζειν ὡς βραδυνόντων φάσκοντες, ἀνεβάλλοντο τὴν μάχην· εἴτ' ἀγνοοῦντες ὄντως τὴν ἐκείνων φθοράν, εἴτε βουλόμενοι δοκεῖν ἀπιστεῖν. Καὶ γὰρ τοὺς ἀγγέλλοντας ἠχίζοντο δεινῶς, καὶ τὸν Μάριον

sénat s'empressa de les lui décerner ; mais il les refusa, soit qu'il ne voulût pas priver de leur part de cette gloire les soldats qui avaient partagé ses périls, ou que son motif fût de rassurer le peuple, en déposant entre les mains de la fortune de Rome, la gloire de ses premiers succès, et se promettant de l'en retirer plus brillante après de nouveaux exploits. Il tint dans le sénat les discours qu'exigeait la circonstance ; après quoi il se hâta d'aller joindre Catulus, dont il releva le courage, et fit venir son armée des Gaules. Dès qu'elle fut arrivée, il passa l'Éridan, afin d'empêcher les barbares de pénétrer dans l'Italie cispadane. Mais ceux-ci différaient de combattre, parce qu'ils attendaient, disaient-ils, les Teutons, dont le retard les étonnait fort, soit qu'ils ignorassent réellement leur défaite, soit qu'ils voulussent paraître n'y pas croire. Ils accablèrent d'outrages ceux qui venaient leur en porter la nouvelle, et envoyè-

καὶ τῆς βουλῆς
ψηφισαμένης προθύμως,
οὐκ ἠξίωσεν,
εἴτε μὴ βουλόμενος
ἀποστερῆσαι τῆς φιλοτιμίας
τοὺς στρατιώτας
καὶ συναγωνιστάς,
εἴτε θαῤῥύνων τὸ πλῆθος
πρὸς τὰ παρόντα,
ὡς παρακατατιθέμενος
τῇ τύχῃ τῆς πόλεως
τὴν δόξαν
τῶν πρώτων κατορθωμάτων,
ἀποδοθησομένην λαμπροτέραν
ἐν τοῖς δευτέροις.
Διαλεχθεὶς δὲ
τὰ πρέποντα τῷ καιρῷ,
καὶ ἐξορμήσας
πρὸς τὸν Κάτλον,
παρεθάῤῥυνέ τε τοῦτον,
καὶ μετεπέμπετο
τοὺς στρατιώτας αὐτοῦ
ἐκ Γαλατίας.
Ὡς δὲ ἀφίκοντο,
διαβὰς τὸν Ἠριδανόν,
ἐπειρᾶτο εἴργειν
τοὺς βαρβάρους
τῆς Ἰταλίας ἐντός.
Οἱ δὲ φάσκοντες
ἐκδέχεσθαι τοὺς Τεύτονας,
καὶ θαυμάζειν
ὡς βραδυνόντων,
ἀνεβάλλοντο τὴν μάχην·
εἴτε ἀγνοοῦντες ὄντως
τὴν φθορὰν ἐκείνων,
εἴτε βουλόμενοι
δοκεῖν ἀπιστεῖν.
Καὶ γὰρ
ἠκίζοντο δεινῶς
τοὺς ἀγγέλλοντας,

et le sénat
*l'*ayant décrété de bon cœur,
il n'accepta pas,
soit ne voulant pas
avoir privé de l'honneur
ses soldats
et ses compagnons-d'armes,
soit rassurant la multitude
contre le présent,
comme confiant-en-dépôt
à la fortune de la ville
la gloire
de ses premiers succès,
devant être rendue plus brillante
dans les seconds.
Mais ayant dit
ce qui convenait à la circonstance,
et s'étant élancé
vers Catulus,
et il rendit-courage à celui-ci,
et il manda
les soldats de lui-même
de Gaule.
Mais dès qu'ils furent arrrivés,
ayant passé l'Éridan,
il s'efforçait d'écarter
les barbares
de l'Italie du dedans.
Mais ceux-ci disant
attendre les Teutons,
et s'étonner *d'eux*
comme étant-en-retard,
différaient le combat :
soit ignorant réellement
la destruction de ceux-ci,
soit voulant
paraître ne-pas-*y*-croire.
Et en effet
ils maltraitèrent terriblement
ceux qui *l'*annonçaient,

ἤτουν πέμψαντες ἑαυτοῖς καὶ τοῖς ἀδελφοῖς χώραν, καὶ πόλεις ἱκανὰς ἐνοικεῖν. Ἐρομένου δὲ τοῦ Μαρίου τοὺς πρέσβεις περὶ τῶν ἀδελφῶν, κἀκείνων ὀνομασάντων τοὺς Τεύτονας, οἱ μὲν ἄλλοι πάντες ἐγέλασαν, ὁ δὲ Μάριος ἔσκωψεν, εἰπών· « Ἐᾶτε τοίνυν τοὺς ἀδελφούς· ἔχουσι γὰρ γῆν ἐκεῖνοι, καὶ διὰ παντὸς ἕξουσι, παρ' ἡμῶν λαβόντες. » Οἱ δὲ πρέσβεις τὴν εἰρωνείαν συνέντες, ἐλοιδόρουν αὐτόν, ὡς δίκην ὑφέξοντα, Κίμβροις μὲν αὐτίκα, Τεύτοσι δ', ὅταν παραγένωνται. « Καὶ μὴν πάρεισιν, ἔφη ὁ Μάριος, καὶ οὐχ ἕξει καλῶς ὑμῖν ἀπαλλαγῆναι πρότερον, ἢ τοὺς ἀδελφοὺς ἀσπάσασθαι. » Καὶ ταῦτ' εἰπὼν ἐκέλευσε τοὺς βασιλεῖς τῶν Τευτόνων προαχθῆναι δεδεμένους. Ἑάλωσαν γὰρ ἐν ταῖς Ἄλπεσι φεύγοντες ὑπὸ Σηκουανῶν [1].

XXV. Ὡς δὲ ἀπηγγέλθη ταῦτα τοῖς Κίμβροις, εὐθὺς ἐξ ἀρχῆς

rent même à Marius des ambassadeurs chargés de lui demander, pour eux et pour leurs frères, des terres et des villes où ils pussent s'établir. Marius ayant demandé aux ambassadeurs de quels frères ils voulaient parler, ils répondirent que c'étaient les Teutons ; tous ceux qui étaient présents éclatèrent de rire, et Marius leur dit en plaisantant : « Ne vous inquiétez plus de vos frères ; ils ont la terre que nous leur avons donnée et qu'ils conserveront à jamais. » Les barbares, ayant senti l'ironie, s'emportèrent en injures et en menaces, et lui déclarèrent qu'il allait être puni de ses railleries, d'abord par les Cimbres, et ensuite par les Teutons, lorsqu'ils seraient arrivés. « Ils le sont, répliqua Marius ; et il serait peu honnête de vous en aller sans avoir salué vos frères. » En même temps il ordonna d'amener, chargés de chaînes, les rois des Teutons. Comme ils s'enfuyaient dans les Alpes, les Séquaniens les avaient faits prisonniers.

XXV. Les Cimbres n'eurent pas plutôt appris ce qui s'était passé,

καὶ πέμψαντες
ἤτουν τὸν Μάριον
ἑαυτοῖς καὶ τοῖς ἀδελφοῖς
χώραν καὶ πόλεις
ἱκανὰς ἐνοικεῖν.
Τοῦ δὲ Μαρίου
ἐρομένου τοὺς πρέσβεις
περὶ τῶν ἀδελφῶν,
καὶ ἐκείνων
ὀνομασάντων τοὺς Τεύτονας
πάντες μὲν οἱ ἄλλοι
ἐγέλασαν,
ὁ δὲ Μάριος ἔσκωψεν, εἰπών·
« Ἐᾶτε τοίνυν τοὺς ἀδελφούς.
ἐκεῖνοι γὰρ ἔχουσι
καὶ ἕξουσι διὰ παντὸς
γῆν,
λαβόντες παρὰ ἡμῶν. »
Οἱ δὲ πρέσβεις
συνιέντες τὴν εἰρωνείαν,
ἐλοιδόρουν αὐτόν,
ὡς ὑφέξοντα δίκην,
Κίμβροις μὲν αὐτίκα,
Τεύτοσι δέ,
ὅταν παραγένωνται.
« Καὶ μὴν πάρεισιν,
ἔφη ὁ Μάριος,
καὶ οὐχ ἕξει καλῶς ὑμῖν
ἀπαλλαγῆναι
πρότερον ἢ ἀσπάσασθαι
τοὺς ἀδελφούς. »
Καὶ εἰπὼν ταῦτα,
ἐκέλευε
τοὺς βασιλεῖς τῶν Τευτόνων
προαχθῆναι δεδεμένους.
Φεύγοντες γὰρ
ἑάλωσαν ἐν ταῖς Ἄλπεσιν
ὑπὸ Σηκουανῶν

XXV. Ὡς δὲ ταῦτα
ἀπηγγέλθη τοῖς Κίμβροις,

et ayant envoyé *des députés*
ils demandèrent à Marius
pour eux et leurs frères
un pays et des villes
suffisantes pour y-habiter.
Mais Marius
interrogeant les députés
touchant leurs frères,
et ceux-ci
ayant nommé les Teutons,
d'un côté tous les autres
se mirent-à-rire,
et de l'autre Marius railla, disant :
« Laissez donc vos frères :
car ceux-ci ont
et auront pendant tout *le temps*
de la terre,
l'ayant reçue de nous. »
Mais les députes
comprenant l'ironie,
injuriaient lui,
comme donner un châtiment,
et aux Cimbres sur-le-champ,
et aux Teutons,
lorsqu'ils seraient arrivés
« Et certes ils sont présents
dit Marius,
et il ne sera pas bien à vous
de vous être éloignés
avant d'avoir embrasse
vos frères. »
Et disant cela,
il ordonna
les rois des Teutons
être amenés enchaînés
Car fuyant
ils avaient été pris dans les Alpes
par les Séquaniens.

XXV. Mais dès que ces choses
furent annoncées aux Cimbres,

